V. 131. Quum in libris scriptum esset κἀκ τοῦδε Μενέλαον οὔτις οἶδ' ἀφιγμένον, Barnesius scripsit Μενέλεων, dura parumque eleganti contractione syllabarum: receperuntque editores. Servandum erat Μενέλαον et scribendum Μενέλαόν τις.

ΤΕΥΚΡΟΣ.

Λήδαν ἔλεξας; οἴχεται θανοῦσα δή.

ΕΛΕΝΗ.

οὔ πού νιν Ἑλένης αἰσχρὸν ὤλεσεν κλέος;

ΤΕΥΚΡΟΣ.

φασίν, βρόχῳ γ' ἅψασαν εὐγενῆ δέρην.

ΕΛΕΝΗ.

οἱ Τυνδάρειοι δ' εἰσὶν ἢ οὐκ εἰσὶν κόροι;

ΤΕΥΚΡΟΣ.

τεθνᾶσι κοὐ τεθνᾶσι· δύο δ' ἐστὸν λόγω.

ΕΛΕΝΗ.

πότερος ὁ κρείσσων; ὦ τάλαιν' ἐγὼ κακῶν.

ΤΕΥΚΡΟΣ.

ἄστροις σφ' ὁμοιωθέντε φάσ' εἶναι θεώ.

ΕΛΕΝΗ.

καλῶς ἔλεξας τοῦτο· θάτερον δὲ τί;

ΤΕΥΚΡΟΣ.

σφαγαῖς ἀδελφῆς οὕνεκ' ἐκπνεῦσαι βίον.
ἅλις δὲ μύθων· οὐ διπλᾶ χρήζω στένειν.
ὧν δ' οὕνεκ' ἦλθον τούςδε βασιλείους δόμους,
τὴν θεσπιῳδὸν Θεονόην χρήζων ἰδεῖν,

V. 135. Libri οὔπω. Musgravius ἤπου. Id supra scripserat Victorius, videturque probasse Elmsleius ad Heracl. 987. et ad Med. 1275. Seidlerus οὔ που, recte: de quo dixi ad Iph. Aul. 676. et ad Iph. Taur. 994.

V. 138. Recepi cum aliis Schaeferi in Melet. crit. p. 16. emendationem λόγω pro librorum scriptura λόγοι.

σὺ προξένησον, ὡς τύχω μαντευμάτων
ὅπῃ νεὼς στείλαιμ' ἂν οὔριον πτερὸν
εἰς γῆν ἐναλίαν Κύπρον, οὗ μ' ἐθέσπισεν
οἰκεῖν Ἀπόλλων, ὄνομα νησιωτικὸν
Σαλαμῖνα θέμενον τῆς ἐκεῖ χάριν πάτρας.

ΕΛΕΝΗ.

πλοῦς, ὦ ξέν', αὐτὸς σημανεῖ· σὺ δ' ἐκλιπὼν
γῆν τήνδε φεῦγε, πρίν σε παῖδα Πρωτέως
ἰδεῖν, ὃς ἄρχει τῆσδε γῆς· ἄπεστι δὲ
κυσὶν πεποιθὼς ἐν φοναῖς θηροκτόνοις·
κτείνει γὰρ Ἕλλην' ὅντιν' ἂν λάβῃ ξένον.
ὅτου δ' ἕκατι, μήτε σὺ ζήτει μαθεῖν
ἐγώ τε σιγῶ· τί γὰρ ἂν ὠφελοῖμί σε;

ΤΕΥΚΡΟΣ.

καλῶς ἔλεξας, ὦ γύναι. θεοὶ δέ σοι
ἐσθλῶν ἀμοιβὰς ἀντιδωρησαίατο.
Ἑλένῃ δ' ὅμοιον σῶμ' ἔχουσ' οὐ τὰς φρένας
ἔχεις ὁμοίας, ἀλλὰ διαφόρους πολύ.
κακῶς δ' ὄλοιτο, μηδ' ἐπ' Εὐρώτα ῥοὰς
ἔλθοι· σὺ δ' εἴης εὐτυχὴς ἀεί, γύναι.

V. 146. Legebatur *συμπροξένησον*. Recepi Iacobsii emendationem Animadv. p. 140.

V. 147. Non recte me haec ad Hec. 1052. de contrahendis velis interpretatum esse puto. Simplicior hic et aptior significatio mittendi est, ut, velum navis quum dicit, ipsam navem intelligere debeamus.

V. 154. Quod Matthiae refert, Blomfieldium in glossario Persarum Aeschyli ad v. 55. suspicari *γεγηθὼς* legendum esse pro *πεποιθώς*, ex prima editione sumptum est. In altera, ex qua est Lipsiensis expressa, deleta est ista coniectura, citato pro ea Apollonio Rhod. I. (immo IV.) 110. ubi est *ἀγρόται, οἵτε κύνεσσι πεποιθότες*.

V. 157. Edd. vett. *ὠφέλοιμί σε*.

ὦ μεγάλων ἀχέων μεταβαλλομένα μέγαν οἶκτον,
ποῖον ἁμιλλαθῶ γόον; ἢ τίνα μοῦσαν ἐπέλθω,
δάκρυσιν, ἢ θρήνοις, ἢ πένθεσιν; ἒ ἕ.

στροφὴ α΄.

πτεροφόροι νεάνιδες,
παρθένοι, Χθονὸς κόραι,

V. 164. Libri καταβαλλομένα, quod Pflugkius defendere studuit, ut significaret *quasi fundamentum iaciens, exordiens.* Non dubitavi tamen Musgravii emendationem μεταβαλλομένα recipere, quam Matthiae ne commemoravit quidem. Eam vero res ipsa poscit. Nam Helena quum connubium Theoclymeni metueret, quae sunt illa μεγάλα ἄχη, nunc ea commutavit cum alio multo graviore malo, quoniam ei Menelaus, quem mortuum perhiberi Teucer dixit, est lugendus.

V. 166. Recte edd. vett. huic versui adiiciunt ἒ ἕ, quas interiectiones recentiores critici ab eo separarunt. Est autem hic versus pentameter dactylicus, nisi, quod valde credibile est, iterandae sunt istae voculae, aut geminatum αἰαῖ ponendum.

V. 167. In Aldina haec stropha sic scripta et versibus distincta legitur:

πτεροφόροι νεάνιδες,
παρθένοι χθονὸς κόραι
σειρῆνες, εἴθ' ἐμοῖς
μόλοιτ', ἔχουσαι τὸν λίβυν
λωτὸν, ἢ σύριγγας αἰλίνοις κακοῖς
τοῖς ἐμοῖσι, σύνοχα δάκρυα,
πάθεσι πάθεα, μέλεσι μέλεα,
μουσεῖά τε θρηνήμασι ξυνῳδὰ
πέμψειε Φερσέφασσα,
φόνια, φόνια, χάριτας,
ἵν' ἐπὶ δάκρυσι, παρ' ἐμέ
θ' ὑπὸ μέλαθρα νύχια παι
ἄνας νέκυσιν ὀλομένοις λάβῃ.

Versu tertio γόοις ex cod. E. addidit Musgravius. Idem etiam totius strophae sententiam rectius quam caeteri interpretes perspexit, quum Φερσέφασσα vocativum esse ratus, κακοῖς ὡς ἐμοῖσι et μουσεῖα τεὰ scribendum coniecit: quae sic est interpretatus: *una habentes Libycam lotum, arundinemque, ut ad recessus tuos, o Proserpina, lamentis resonantes mittat questus, dolores, naenias, meis deplorandis malis sociatas.* Non possunt tamen haec probari, quia neque ὡς commode positum est, (rectius enim esset αἴλιν' ἵνα κακοῖς τοῖς ἐμοῖσι) neque iambica dipodia, μουσεῖα τεά, etsi eam fert antistrophicum ὅ τι πότ' ἔλακεν, iambica, sed potius tro-

Σειρῆνες, εἴθ᾽ ἐμοῖς γόοις
μόλοιτ᾽ ἔχουσαι Λίβυν λωτὸν ἢ σύ-
ριγγας, αἴλιν᾽ ὃς κακοῖς
τοῖς ἐμοῖσι σύνοχα δάκρυα,
πάθεσι πάθεα, μέλεσι μέλεα
Μύσι᾽, ἅτ᾽ ἒ ἒ
θρηνήμασι ξυνῳδά,
πέμψειε Φερσεφάσσᾳ,
φόνια, φόνια, χάριτας ἵν᾽ ἐπὶ
δάκρυσι παρ᾽ ἐμέθεν ὑπὸ μέλαθρα

---

chaica esse debet, nec facile audienti patet constructio orationis ista, ὡς μέλεα πέμψειε μουσεῖα τεά. Illud vero recte Musgravius, quod non, ut alii, Proserpina ut lugubrem cantum mittat, optari putavit. Quo factum, ut Elmsleius ad Iphig. Taur. 566. φόνι᾽ ἀχάριτά θ᾽ et Lobeckius ad Ai. 611. (610. ed. sec.) φόνι᾽, ἀχάριτας ἵν᾽ ὑπὸ μέλαθρα νύχια παιᾶνας νέκυσιν ὀλομένοις, vel etiam νέκυσι μελομένους coniicerent. Potissimam vitii sedem in μουσεῖά τε quaerendam esse patet, quae quum dipodia trochaica esse debeat, vix dubitari potest, quin his in vocibus lateat *Μύσι᾽*, ἅτε. Satis notae Mysiae naeniae: unde Aeschylus in Persis v. 1059.

καὶ στέρν᾽ ἄρασσε, καὶ βόα τὸ *Μύσιον*.

Videndi ibi interpretes et Welckerus in dissertatione de Lino, quae est in Diurnis scholasticis 1830. n. 2—5. Praeterea vero, ut metrum constet, scribendum erat *Μύσι᾽*, ἅτ᾽, ἒ ἔ. Sic in media oratione ἒ ἒ posuit etiam Aeschylus in Prometheo v. 604.

δυςδαιμόνων δὲ τίνες, οἳ ἒ ἒ
οἷ᾽ ἐγὼ μογοῦσιν;

Et alibi. Reliquum erat, ut, quo cohaereret oratio, v. 171. αἴλιν᾽ ὃς scriberetur. Pertinet ὃς ad *Λίβυν* λωτόν, ut ad primariam notionem, cui deinde leviter adiectum ἢ σύριγγας.

V. 169. Ἐμοῖς γόοις est *ad meum luctum*. Aliter quae sequuntur non recte cohaererent.

V. 170. Legebatur τὸν *Λίβυν* λωτόν, quod servavit Elmsleius ad Bacch. 163. Delevi articulum ob versum antistrophicum.

V. 173. Elmsleius ad Bacch. 163. nescio an errore posuerit πάθεα πάθεσι, μέλεα μέλεσι.

V. 176. Φερσέφασσα nominativum in dativum mutavi. Ita simul patet recte se habere quae sequuntur.

V. 178. Seidleri emendatio est παρ᾽ ἐμέθεν pro παρ᾽ ἐμέθ᾽, de vers. dochm. p. 102.

νύχια παιᾶνας
νέκυσιν ὀλομένοις λάβῃ.

ΧΟΡΟΣ.

ἀντιστροφὴ α'.

κυανοειδὲς ἀμφ' ὕδωρ
ἔτυχον ἑλικά τ' ἀνὰ χλόαν
φοίνικας ἁλίῳ πέπλους
αὐγαῖσιν ἐν χρυσέαις ἀμφιθάλπουσ'
ἔν τε δόνακος ἔρνεσιν·
ἔνθεν οἰκτρὸν ἀνεβόασεν
ὅμαδον ὀλοόν, ἄλυρον ἔλεγον,

V. 179. G. Dindorfius delevit *παιᾶνας*, quod putabat explicando *χάριτας* adscriptum fuisse. Sequutus est Pflugkius. At nec vocabulo isto usus esset interpres, nec, si deletur, integri sunt numeri.

V. 183. Edd. vett. *ἁλιωπέπλους*. In Par. E. supra scriptum *ἁλίου*, uti scribendum coniecit Canterus, quem Musgravius aliique sunt sequuti. Quod scripsit Matthiae: *ἁλίου superscriptum habet Par. E. Vict. et solum sine ἁλίω Par.* 1. 2. non puto errore vacuum esse. Certe codices dicere voluit Florentinos. Ego *ἁλίῳ* scribendum duxi. Vestes dicit sole siccandas in luce, quod est in loco aprico.

V. 184. Libri: *αὐγαῖσιν ἐν ταῖς χρυσέαις*. Intolerabilem articulum delendum esse monui in praefatione Iphig. Aul. p. 19. Flor. 1. *ἐν ταῖς χρυσέαις αὐγαῖσιν*.

V. 185. Libri: *θάλπουσ' ἀμφί τ' ἐν δόνακος ἔρνεσιν*. Matthiae aliique receperunt Seidleri coniecturam in libro de vers. dochm. p. 102., in quam Erfurdtius quoque inciderat. Videturque id verum esse. *Ἀμφιθάλπουσα* dicit, quod verterentur vestes, ut utrimque siccarentur.

V. 186. Edd. vett. *ἔνθεν οἰκτρὸν ἀνεβόασεν. ὅμαδον ἔκλυον ἄλυρον, ἔλεγον*. Postrema male distincta esse, quod *ἔλεγος* non sit adiectivum, vidit L. Dindorfius. In Flor. deest *ἔλεγον*. Quod Matthiae statuit persuasitque aliis, hunc versum *ὅμαδον ἔκλυον, ἄλυρον ἔλεγον* in parenthesi additum esse, cohaerereque *ἀνεβόασεν ὅ τι πότ' ἔλακεν αἰάγμασι στένουσα*, durum atque invenustum est. Reiskius sagaciter sensit vitiosum esse *ἔκλυον*, sed valde erravit, quum id in *ἔκλυρον* mutatum voluit, deleto *ἄλυρον*, quod sit ab interprete profectum. Reposui *ὀλοόν*, quo etiam strophico similior hic versus redditur.

ὅ τι πότ' ἔλακεν
αἰάγμασι στένουσα
νύμφα τις οἷα Ναῒς
ὄρεσι φυγάδα νόμον ἱεῖσα
γοερόν, ὕπο δὲ πέτρινα μύχατα
γύαλα κλαγγαῖσιν
Πανὸς ἀναβοᾷ γάμους.

ΕΛΕΝΗ.

στροφὴ β'.

ἰὼ ἰώ.
θήραμα βαρβάρου πλάτας,
Ἑλλανίδες κόραι,
ναύτας Ἀχαιῶν
τις ἔμολεν, ἔμολε, δάκρυα δάκρυσί μοι φέρων
δαΐῳ κατασκαφὰν
πυρὶ μέλουσαν Ἰλίου
δι' ἐμὲ τὰν πολυκτόνον,
δι' ἐμὸν ὄνομα πολύπονον.

V. 188. Edd. vett. ὅτί ποτ' ἔλακεν. Vict. ὅ τι ποτ' ἔλακεν. Flor. 1. ποδέλακεν. 2. πόδ' ἔλακεν.

V. 191. Libri γάμον. Musgravii emendatio est νόμον.

V. 192. Libri μύχαλα. Emendavit Canterus.

V. 193. Edd. vett. γύαλα Πανός. Inter has voces inserunt Flor. 1. Vict. κλαγγάς, quod in Florentino alia manus circumscripta linea reiecit. Scribendum erat κλαγγαῖσιν, non κλαγγαῖς, ut Boissonadus edidit, laudandus tamen quod recepit vocem non admissam ab aliis editoribus. Vide ad v. 179.

V. 199. Edd. vett. ἔμολεν, ἔμολεν. Flor. 1. 2. ἔμολεν, ἔμολε. Trimetrum recte animadvertit Elmsleius ad Bacch. 984.

V. 200. 201. Edd. vett. Ἰλίου κατασκαφὰν, πυρὶ μέλλουσαν ἰδαίῳ. Male Elmsleius ad Aiac. 599. coniecerat κατασκοπάν. Μέλουσαν iam H. Stephanus, viderique id in Flor. 1. 2. esse ait Matthiae. Dein δαΐῳ Musgravius. Sed commutare etiam sedes suas debebant Ἰλίου et δαΐῳ. Origo erroris aperta.

V. 203. Libri veteres πουλύπονον.

Λήδα δ' ἐν ἀγχόναις
θάνατον ἔλαβεν
αἰσχύνας ἐμᾶς ὑπ' ἀλγέων.
ὁ δ' ἐμὸς ἐν ἁλὶ πολυπλανὴς
πόσις ὀλόμενος οἴχεται,
Κάστορός τε συγγόνου τε
διδυμογενὲς ἄγαλμα πατρίδος
ἀφανές, ἀφανὲς ἱππόκροτα λέ-
λοιπε δάπεδα
γυμνάσιά τε δονακόεντος
Εὐρώτα, νεανίαν πόνον.

ΧΟΡΟΣ.

ἀντιστροφὴ β'.

αἰαῖ αἰαῖ.
ὢ δαίμονος πολυστόνου
μοίρας τε σᾶς, γύναι.
αἰὼν δυσαίων
τις ἔλαχεν, ἔλαχεν, ὅτε σε τέκετο ματρόθεν
Ζεὺς πρέπων δι' αἰθέρος
χιονόχρως κύκνου πτερῷ·
τί γὰρ ἄπεστί σοι κακῶν;
τίνα δὲ βίοτον οὐκ ἔτλας;
μάτηρ μὲν οἴχεται,

V. 206. Edd. vett. *αἰσχύνασ' ἡμᾶς ἐπ' ἀλγέων*. Par. E. *αἰσχύνασ' ὑμᾶς*, et in margine *ἐμῆς*. Vera scriptura, quam coniectura invenerat Muretus Varr. lectt. IV. 14., confirmata est a Flor. 1. 2.

V. 215. Edd. vett. quater *αἶ*. Flor. 1. bis.

V. 220. Flor. 1. hoc ordine: *χιονόχρως κύκνου πτερῷ Ζεὺς πρέπων δι' αἰθέρος*.

V. 223. Flor. 1. 2. *ἔτλησας*, quod sit *ἔτλης* et *ἔτλας*. Vict. *ἔτλησα*.

δίδυμά τε Διὸς
οὐκ εὐδαιμονεῖ τέκεα φίλα,
χθόνα δὲ πάτριον οὐχ ὁρᾷς,
διὰ δὲ πόλεας ἔρχεται
βάξις, ἅ σε βαρβάροισι
λέχεσι, πότνια, παραδίδωσιν,
ὁ δὲ σὸς ἐν ἁλὶ κύμασί τε λέ-
λοιπε βίοτον,
οὐδέ ποτ' ἔτι πάτρια μέλαθρα
καὶ τὰν Χαλκίοικον ὀλβιεῖς.

ΕΛΕΝΗ.

στροφὴ γ'.

φεῦ, τίς ἦν Φρυγῶν, τίς ἦν,
τὰν δακρυόεσσαν Ἰλίῳ τε πεύκαν
ὃς ἔτεμε τοῖς θ' Ἑλλανίας ἀπὸ χθονός;

V. 231. Non dixisset, opinor, sic nude *ὁ δὲ σός*, nisi praecessisset *βαρβάροισι λέχεσι*, quod idem est ac *βαρβάρῳ πόσει*.

V. 234. Libri omnes *ὀλβιοῖς*. Scaliger et H. Stephanus *ὀλβιεῖς*.

V. 235. In libris antiquis deest personae nota, cuius vestigium in veteri codice repperit Victorius. Hanc partem carminis mirum est pro epodo habitam esse, quum apertissime sit antistrophica, depravatis quidem nonnullis versibus vitio antiquissimi codicis, ex quo ita detrito, ut legi recte non possent, descriptos esse oportet. Initium strophae in libris ita legitur: *φεῦ. φεῦ. τίς ἦν Φρυγῶν; ἢ τίς Ἑλλανίας ἀπὸ χθονός, ἔτεμε τὰν δακρυόεσσαν Ἰλίῳ πεύκαν;* Non dubium videtur, haec ex lacerati libri vestigiis utcumque composita esse: nam et sententia inepta est, nec sani numeri. Respicit Euripides Phereclum, quem Homerus Iliad. V. 59. seqq. Paridi naves illas *ἀρχεκάκους* fabricatum esse prodidit: itaque recte dictum *τίς ἦν Φρυγῶν;* sed absurda sunt, quae sequuntur. Nam etsi credibile est, ut Pflugkius ait, ignorasse Helenam nomen istius hominis, tamen quomodo ei in mentem venire potuit, Graecum hominem in Phrygia abietes cecidisse, ex quibus Paris sibi navem faceret? Immo Graeciae eam navem aeque atque Ilio perniciosam fuisse eo magis dicere debuit, quod non tam excidium Troiae, quam interitum Menelai luget. Itaque correxi haec sic, ut res postulabat, et monstrabant versus antistrophici, e quibus apparet hic tertium versum ante secundum collocatum fuisse.

ἔνθεν ὀλόμενον σκάφος
συναρμόσας ὁ Πριαμίδας
ἔπλευσε βαρβάρῳ πλάτᾳ
τὰν ἐμὰν ἐφ' ἑστίαν,
ἐπὶ τὸ δυςτυχές τε κάλλος
ὡς γάμον ἐμόν, ἅ τε δόλιος,
ἁ πολυκτόνος Κύπρις,
Δαναΐδαις θάνατον ἄγουσα
Πριαμίδαισί τ',
ὢ τάλαινα συμφορᾶς.

ἀντιστροφὴ γ'.

ἐν δὲ χρυσέοις θρόνοις

V. 242. Libri: ἐπὶ τὸ δυςτυχὲς κάλλος. Inserui τε.

V. 243. Libri: ὡς ἕλοι γάμον ἐμόν. ἃ δὲ δόλιος, ἁ πολύκτονος Κύπρις, redundante integro pede, sententiaque enunciata languidissime. Adiecit aliquis ἕλοι, qui non videret ὡς praepositionis loco esse. Qui usus etsi alienior a melicis est, tamen sic quam ἐς γάμον dicere maluit, quod id usitatum est de iis, qui ad celebrationem nuptiarum veniunt. In iis quae sequuntur accentu mutato πολυκτόνος restituit L. Dindorfius. Quod ad sententiam attinet, Matthiae suspicari aliquem posse dicit, scribendum esse ἅ τε δόλιος, iungendaque haec cum praecedentibus, ut ex communi verbo ἔπλευσε pendentia. Sed melius esse ait, haec tamquam in parenthesi posita, neque ad primariam sententiam pertinentia accipere, ita ut ad nominativum ἀπὸ κοινοῦ repetendum sit ἔπλευσε, vel verbum cognatae significationis cogitandum, ἐφέσπετο. At id multo impeditius, ideoque deterius est: immo, si servandum ἁ δέ, interpungi deberet sic: ἁ δὲ δόλιος, ἁ πολυκτόνος, Κύπρις: *quae autem dolosa fuit, quae perditrix multorum, Venus fuit.* Sed praestat, quod recepi, ἅ τε δόλιος, ipso auctore Euripide, quem citavit Matthiae, Troad. v. 940. ubi Helena:

ἦλθ' οὐχὶ μικρὰν θεὸν ἔχων αὐτοῦ μέτα
ὁ τῆςδ' ἀλάστωρ, εἴτ' Ἀλέξανδρον θέλεις
ὀνόματι προςφωνεῖν νιν, εἴτε καὶ Πάριν.

Et v. 983. ex Hecubae persona:

Κύπριν δ' ἔλεξας, ταῦτα γὰρ γέλως πολύς,
ἐλθεῖν ἐμῷ ξὺν παιδὶ Μενέλεω δόμους.

V. 245. Libri: Δαναΐδαις ἄγουσα θάνατον Πριαμίδαις τε, quae metris indicium facientibus corrigenda fuerunt.

V. 248. Libri: ἡ δὲ χρυσέοις θρόνοις Διὸς ὑπαγκάλισμα.

ἁ Διὸς ὑπαγκάλισμα σεμνὸν Ἥρα
τὸν ὠκύπουν ἔπεμψε Μαιάδος γόνον,
ὅς με χλοερὰ δρεπομέναν
ῥόδεά τε πέταλ' ἔσω πέπλων,
τὰν Χαλκίοικον ὡς μόλοιμ',
ἁρπάσας δι' αἰθέρος
τάνδε γαῖαν εἰς ἄνολβον,
ἔριν, ἔριν τάλαιναν ἔθετο
Πριαμίδαισιν Ἑλλάδος.
τὸ δ' ἐμὸν ὄνομα παρὰ Σιμουντί-
οις ῥοαῖσι
μαψίδιον ἔχει φάτιν.

ΧΟΡΟΣ.

ἔχεις μὲν ἀλγείν', οἶδα· σύμφορον δέ τοι
ὡς ῥᾷστα τἀναγκαῖα τοῦ βίου φέρειν.

ΕΛΕΝΗ.

φίλαι γυναῖκες, τίνι πότμῳ συνεζύγην;
ἆρ' ἡ τεκοῦσά μ' ἔτεκεν ἀνθρώποις τέρας;

Scripsi ἐν δὲ et restitui articulum ante Διός, qui per similitudinem litterarum fugerat antiquum scribam.

V. 249. Elmsleius ad Iph. Taur. 824, 1. et ad Bacch. 1153. ignoratione antistrophicorum Ἥρα additamentum interpretis esse pronunciavit. Itaque sequaces uncis incluserunt Dindorfii et Pflugkius.

V. 250. Flor. 1. 2. γόνος.

V. 251. Libri: ὅς με χλοερὰ δρεπομέναν ἔσω πέπλων ῥόδεα πέταλα, χαλκίοικον ὡς Ἀθάναν μόλοιμ'. Patet et τε ante πέταλα excidisse et turbatum esse ordinem verborum, Ἀθάναν autem ab interprete esse adiectum. Eo expulso scribendum fuit τὰν Χαλκίοικον, ut v. 234., quo simul metrum restitutum.

V. 254. Libri ἀναρπάσας.

V. 257. Flor. 1. Πριαμίδεσσιν.

V. 261. Flor. 1. et edd. vett. συμφέρον. Musgravius ex codd. Par. E. G. σύμφορον. Sic etiam, superscripto ab alia manu ε, Flor. 2. et Vict. In fine versus quod libri habent σοι, recte L. Dindorfius τοι scribendum vidit.

γυνὴ γὰρ οὔθ' Ἑλληνὶς οὔτε βάρβαρος
τεῦχος νεοσσῶν λευκὸν ἐκλοχεύεται,
ἐν ᾧ με Λήδαν φασὶν ἐκ Διὸς τεκεῖν.
τέρας γὰρ ὁ βίος καὶ τὰ πράγματ' ἐστί μοι,
τὰ μὲν δι' Ἥραν, τὰ δὲ τὸ κάλλος αἴτιον.
εἴθ' ἐξαλειφθεῖσ', ὡς ἄγαλμ', αὖθις πάλιν
αἴσχιον εἶδος ἀντὶ τοῦ καλοῦ λάβοιν,

V. 270. Etiam de pictura dici ἄγαλμα Suidas et grammaticus in Bekkeri Anecd. p. 324, 4. 334, 18. atque ibidem p. 82, 9. Antiatticista his verbis testatur: ἄγαλμα καὶ γραφὴν καὶ ἀνδριάντα ἀδιαφόρως. Ἀντιφάνης Ζωγράφῳ. Boissonado Euripides de statua picta loqui visus.

V. 271. Edd. vett. λάβω. Par. E. G. Flor. 1. 2. Vict. λαβεῖν, quorum in Flor. 2. et Vict. adscriptum γρ. λάβω. Porsonus Adv. p. 269. V. D. in censuris Britannorum trimestribus XXIX. p. 123. ego ad Philoct. 1081. scribendum censebamus ἀντὶ τοῦ καλοῦ ῎λαβον. Schaeferus ad Poesin gnomicam p. 156. λαβεῖν genuinum putabat. Sequuti sunt Matthiae in adnotatione et in gramm. Gr. §. 546. a. ac Pflugkius. Quid vero afferunt? Phocylidi adscriptum ποίημα νουθετικὸν v. 40.

εἴθε σε μὴ θνητοῖσι γενέσθαι πῆμα ποθεινόν.

Antipatri Thessal. epigr. 35. in Anthol. Pal. T. II. p. 144. n. 408.

εἴθε με παντοίοισιν ἔτι πλάζεσθαι ἀήταις,
ἢ Λητοῖ στῆναι μαῖαν ἀλωομένῃ.

Crinagorae epigr. 20. in Anthol. Pal. T. II. p. 98. n. 284.

αὐτίκα καὶ Γάζης χθαμαλωτέρη εἴθε Κόρινθε
κεῖσθαι, καὶ Λιβυκῆς ψάμμου ἐρημοτέρη.

Quibus addidit Matthiae Odyss. ω. 311. quod fideliter repetivit Pflugkius non inspecto libro: alioqui monuisset lectorem ne quaereret ibi, quod inventurus non esset. At haec epici sermonis, eiusque recentioris sunt. Sensitque incommodum esse apud Euripidem infinitivum Buttmannus ad Philoct. 1092. p. 159. Apud Euripidem codicum scriptura indicat λάβοιν scribendum esse. Eodem errore apud Suidam ἁμαρτεῖν scriptum est, apud quem Porsonus in Dobraei addendis ad Aristoph. Eccles. 607. Cratino ἁμάρτοιν restituit. Ipse Euripides in Etym. M. v. τρέφοιν:

ἄφρων ἂν εἴην εἰ τρέφοιν τὰ τῶν πέλας.

Falsum est, quod dicit Matthiae, non hoc optare posse Helenam, ut nunc demum turpem pro pulcra formam induat, sed ut olim accepisset. Nam illa quod in mente habet, hoc est: facile se passuram, si sibi eripiatur haec forma, si modo oblivisci malae suae famae, meminisse autem fidei erga maritum Graeci possent.

καὶ τὰς τύχας μὲν τὰς κακάς, ἃς νῦν ἔχω,
Ἕλληνες ἐπελάθοντο, τὰς δὲ μὴ κακὰς
ἔσωζον, ὥςπερ τὰς κακὰς σώζουσί μου.
ὅςτις μὲν οὖν εἰς μίαν ἀποβλέπων τύχην
πρὸς θεῶν κακοῦται, βαρὺ μέν, οἰστέον δ' ὅμως·
ἡμεῖς δὲ πολλαῖς συμφοραῖς ἐγκείμεθα.
πρῶτον μὲν οὐκ οὖσ' ἄδικος, εἰμὶ δυςκλεής.
καὶ τοῦτο μεῖζον τῆς ἀληθείας κακόν,
ὅςτις τὰ μὴ προςόντα κέκτηται κακά.
ἔπειτα πατρίδος θεοί μ' ἀφιδρύσαντο γῆς
εἰς βάρβαρ' ἤθη, καὶ φίλων τητωμένη
δούλη καθέστηκ', οὖσ' ἐλευθέρων ἄπο·
τὰ βαρβάρων γὰρ δοῦλα πάντα πλὴν ἑνός.
ἄγκυρα δ' ἥ μου τὰς τύχας ὤχει μόνη,

V. 272. 273. Edd. vett. et Flor. 1. 2. *τὰς καλὰς* et altero versu *τὰς δὲ μὴ καλάς*. Sic etiam Par. E. sed utrique *καλὰς* superscripto *κακάς*: quod merito probarunt Musgravius et qui sequuti sunt editores. Pro *καὶ* videri potest *κἂν* scribendum esse, ut haec non optans, sed rationem concludens dicat. Non opus tamen, si hoc dicere putatur: *εἴθε, λαβούσης αἴσχιον εἶδος, ἐπελάθοντο τὰς κακὰς τύχας*. Itaque recte monuit Matthiae etiam *ἐπελάθοντο* et *ἔσωζον* ex *εἴθε* pendere, sed *τὰς καλὰς τύχας* non debebat felix connubium interpretari. Infelicissimum enim est seiunctae a marito. Felicem sortem hanc dicit Helena, quod ei contigerit experti culpae esse, et neque adulterii rea sit, neque exitiosi tot fortibus viris belli caussa exstiterit.

V. 275. Quoniam, qui unam aliquam in fortunam intuetur, in ea felicitatem suam positam putat, recte sane dictum est *εἰς μίαν ἀποβλέπων τύχην*. Non male tamen scriberetur: *ὅςτις μὲν οὖν εἰς μίαν ἀπόβλεπτον τύχην πρὸς θεῶν κακοῦται*.

V. 278. Recte in veteribus libris et Schaeferi editione distinctum: *οὐκ οὖσ' ἄδικος, εἰμὶ δυςκλεής*, non *ἄδικός εἰμι*, quae absurda notandi accentus ratio est.

V. 285. Libri: *ἄγκυρα δή μου τὰς τύχας ὀχεῖ μόνη*. Scaliger *δ' ἥ μου*, quod probans Musgravius etiam *ὤχει* corrigebat, recte. Servarunt *δή*, receperunt *ὤχει* Brunckius ad Prometh. 1021. et Porsonus ad Orest. 68. Matthiae, libros sequutus, comparari hos versus posse putabat cum his Androm. 407.

πόσιν πόθ' ἥξειν καί μ' ἀπαλλάξειν κακῶν,
εἴπερ τέθνηκεν οὗτος, οὐκέτ' ἔστι δή.
μήτηρ δ' ὄλωλε, καὶ φονεὺς αὐτῆς ἐγώ,
ἀδίκως μέν, ἀλλὰ τἄδικον τοῦτ' ἔστ' ἐμόν·
ὃ δ' ἀγλάϊσμα δωμάτων ἐμοῦ τ' ἔφυ,
θυγάτηρ ἄνανδρος, πολιὰ παρθενεύματα·

εἷς παῖς ὅδ' ἦν μοι λοιπός, ὀφθαλμὸς βίου.
τοῦτον κτανεῖν μέλλουσιν οἷς δοκεῖ τάδε.

At quam inter se dissimiles sint, apparet ex v. 287.

V. 286. Edd. vett. *ἀπαλλάξαι*. Flor. 1. 2. Vict. *ἀπαλλάξειν*, quod admisit Brunckius l. c. Tenue admodum discrimen est, sed ut praeferendum videatur concinnitatis caussa futurum, sicuti aoristus praestaret, si pro *ἥκειν* scriptum esset *ἐλθεῖν*.

V. 287. Libri: *οὗτος τέθνηκεν· οὗτος οὐκ ἔτ' ἔστι δή*. Patienter tulerunt editores hanc ineptissimam et quum satis per se, tum magis etiam propter additum *δή* languidissimam repetitionem eiusdem sententiae. At ea dormitanti cuipiam veteri librario debetur. Reposui, quod res ipsa requirebat: ex quo simul patet, quum *οὐκ ἔτ' ἔστι δή* de ancora dictum sit, recte emendatam a Scaligero et Musgravio esse scripturam versus 285.

V. 289. Elmsleius ad Medeae v. 326. s. de quinto trimetri pede disputans, confusis valde dissimilibus, pro *τοῦτ'* scribi voluit *τόδ'*. Iacobsius in Pflugkii editione adnotavit, multo planiorem fore sententiam, si poeta scripsisset: *καὶ φονεὺς αὐτῆς δοκῶ, ἀδίκως μέν*. De eo dubito. Non enim *ἀδίκως μέν*, sed *ἀλλὰ τἄδικον τοῦτ' ἔστ' ἐμὸν* intellectu difficilius est. Hoc dicit: *interfectrix matris ego sum, falso quidem, sed quod id falso creditur, meum est, nec possum id a me repellere.*

V. 291. Libri: *πολιὰ παρθενεύεται*. In Flor. 1. 2. *πολιᾶ* scriptum. Pro adverbio esse *πολιὰ* dictitant. Aptissime, ait Pflugkius, comparaverunt Soph. El. 962. *ἄλεκτρα γηράσκουσαν ἀνυμέναιά τε*. Phoen. 1740. *ἀπαρθένευτ' ἀλωμένα*. Bacch. 435. *οὐδ' ἄκρανθ' ὡρμήσαμεν*. Persae Theb. epigr. VII. 3. *ἐλεεινὰ καταδρύψασα παρειάς*. Antip. Sidon. LXXXVIII. 4. *τέκνων γνήσια καδομέναν*. Video haec omnia, si in vera adverbia commutantur, recte dici. Sed qui *πολιὰ* pro adverbio esse vult, concedat necesse est ipsi locum esse adverbio, dicique posse *πολιῶς παρθενεύεσθαι*: quod quid est? Scilicet adverbia non rerum, sed actionum praedicata sunt: quare quod in actionem non cadit, id neque adverbio nec vocabulo potestatem habente adverbii significari potest. Hinc colorum appellationes carent adverbiis, nisi quum non proprio significatu usurpantur, ut ab Latinis *candide*. Nec iuvenem quisquam *μελάνως ἡβᾶν*, nec senem *λευκῶς γηράσκειν* dixit. Omnino autem quid cogitant, qui nomen generis neutri pro adverbio esse censent? Ve-

τὼ τοῦ Διὸς δὲ λεγομένω Διοςκόρω
οὐκ ἐστόν, ἀλλὰ πάντ' ἔχουσα δυςτυχῆ
τοῖς πράγμασιν τέθνηκα, τοῖς δ' ἔργοισιν οὔ.
τὸ δ' ἔσχατον τοῦτ', εἰ μόλοιμεν εἰς πάτραν,
κλῄθροις ἂν εἰργοίμεσθα, τὴν ὑπ' Ἰλίῳ
δοκοῦντες Ἑλένην Μενέλεώ μ' ἐλθεῖν μέτα.
εἰ μὲν γὰρ ἔζη πόσις, ἀνεγνώσθημεν ἄν,

---

reor ne nihil. Non est enim pro adverbio, sed potestatem habet eam, quae ei propria est: ut ἄκραντα ὁρμᾶν quid aliud est quam ἄκραντα πράττειν ὁρμῶντα? Semper enim aliqua actio adsignificatur eo verbo, ex quo pendet accusativus, sed ea saepe obscurius, ut non ubique eodem modo declarari possit. Sic ἄλεκτρα ἀνυμέναιά τε γηράσκειν est γηράσκουσαν ἄλεκτρα καὶ ἀνυμέναια τὰ τοῦ βίου διάγειν. Ad eum modum facile intelligeretur χρόνια παρθενεύεσθαι: sed πολιὰ παρθενεύεσθαι vehementer vereor ut defendi possit, nisi quis ostendat πολιὰ idem quod χρόνια significare. Haec qui consideraverit, recte, credo, me reposuisse fatebitur: θυγάτηρ ἄνανδρος, πολιὰ παρθενεύματα.

V. 294. Operosius haec quam opus erat explicari video. Τοῖς πράγμασιν idem est atque τοῖς πάθεσιν. Perisse se dicit iis quae perpessa sit, non illis quae fecerit.

V. 296. Κλῄθροις Elmsleius in censura Marklandi Iphig. Taur. 719. Libri κλείθροις.

V. 297. Libri: δοκοῦντες Ἑλένην Μενέλεω μ' ἐλθεῖν μέτα. Id servavit Elmsleius l. c. ubi de constructione dixit sic facta, ut si praecessisset εἴργοιεν ἄν με. Brunckius ad Prometh. 1021., quod Helena, quae mortuum esse Menelaum audiverit, contrarium dicere debeat, scribi voluit Μενέλεω μ' ἐλθεῖν ἄτερ. Quod Matthiae opponit, potuisse Helenam cum Menelao Troia redisse, hunc autem in itinere mortuum esse, etsi iure a Pflugkio ut mirum nec probabile reiectum est, tamen quod ipse putat, nihil obstare quo minus cum Menelao redire credatur Helena, qui quum non adesset, ne spem quidem ullam relinqui fore ut illa reciperetur, id vereor ne magis etiam mirum et improbabile sit. Nam non modo nihil obstabat quo minus cum Menelao redire crederetur Helena, sed ne poterat quidem credi sine Menelao venire. Bona sententia, sed iusto audacius Siebelis μιμούμενοι pro μ' ἐλθεῖν μέτα coniecerat. Lentingius ad Medeam p. 99. Μενέλεων μ' ἐλθεῖν μέτα, i. e. ἐμὲ μετελθεῖν τὸν Μενέλεων. At non putabant, sed sciebant Menelaum ad repetendam Helenam profectum esse. Quod quid ad rem, ubi redire eum cum illa quae Troiae fuerit Helena dicendum erat? Brunckium laudarem, si coniecisset Μενέλεω μὴ 'λθεῖν ἄτερ. Nam in carcerem se coniectum iri putat Helena, quod, si sine Menelao veniat, Spartani eam non illam, quae Troiae fuerit, quam ipsi ve-

εἰς ξύμβολ' ἐλθόνθ', ἃ φανέρ' ἂν μόνοις ἂν ἦν.
νῦν δ' οὔτε τοῦτ' ἔστ', οὔτε μὴ σωθῇ ποτέ.
τί δῆτ' ἔτι ζῶ; τίν' ὑπολείπομαι τύχην,
γάμους ἑλομένη τῶν κακῶν ὑπαλλαγάς,
μετ' ἀνδρὸς οἰκεῖν βαρβάρου, πρὸς πλουσίαν
τράπεζαν ἵζουσ'; ἀλλ' ὅταν πόσις πικρὸς
ξυνῇ γυναικί, καὶ τὸ σῶν ἐστιν πικρόν.
θανεῖν κράτιστον· πῶς θάνοιμ' ἂν οὖν καλῶς;
ἀσχήμονες μὲν ἀγχόναι μετάρσιοι,
κἂν τοῖσι δούλοις δυςπρεπὲς νομίζεται·
σφαγαὶ δ' ἔχουσιν εὐγενές τι καὶ καλόν,
σμικρὸν δ' ὁ καιρὸς σάρκ' ἀπαλλάξαι βίου.

---

ram esse Helenam credebant, sed esse aliam mulierem, quae ob formae similitudinem Helenae nomen mentiatur, existimaturi sint. Sententiam intellexit Heathius, qui scribendum coniecit *Μενέλεώ γ' ἐλθεῖν μέτα*, non male, quod esset: *istam ad Ilium Helenam saltem cum Menelao venturam.* Sed nulla correctione opus, si sic interpretamur: *putantes, si illa ad Ilium Helena essem, cum Menelao me fuisse venturam.*

V. 299. Libri: *εἰς ξύμβολ' ἐλθόντες, ἃ φανερὰ μόνοις ἂν ἦν.* Porsonus ad Orest. 51. *εἰς ξύμβολ' ἐλθόνθ', ἃ φανέρ' ἂν μόνοις ἂν ἦν.* Seidlerus: *ἐλθόνθ', ἃν φανερὰ μόνοις ἂν ἦν.* Numeris, quos magis etiam depravavit Reisigius in Coniect. p. 245., utroque modo consulitur; an item sententiae, dubitari potest, quae simplicius enunciata esset, si legeretur: *εἰς ξύμβολ' ἐλθοῦσ' οἷς φανερὰ μόνοις ἂν ἦν.* Praetuli tamen ut aptissimum ad numeros, quod Porsonus coniecit, in quo eadem est participii, quae in praecedente disticho, ratio. Nam *ἀνεγνώσθημεν* de sola Helena a Spartanis agnoscenda dictum.

V. 301. Musgravius, quem deinceps sequuti sunt editores, signo interrogandi post *τύχην* distinxit.

V. 302. Libri: *ὑπαλλαγάς.* Non mutem in *ἀπαλλαγάς*, quod fecit Matthiae, cum eoque alii. Aptissime enim hic cum acerbitate commutationem malorum, non liberationem vocat barbari viri connubium.

V. 305. Libri: *καὶ τὸ σῶμ' ἐστὶ πικρόν.* Matthiae scripsit: *καὶ τὸ σώζεσθαι πικρόν*, quod receperunt alii. Scaliger *καὶ τὸ δῶμ' ἐστὶν πικρόν.* Seidlerus *τὸ σῶν.*

V. 306. Libri: *προθάνοιμ' ἂν οὖν καλῶς.* In Par. E. supra scriptum *κακῶς.* Emendavit Stephanus.

V. 310. Libri: *σμικρὸν δ' ὁ καιρὸς ἄρτ' ἀπαλλάξαι βίου,*

εἰς γὰρ τοσοῦτον ἤλθομεν βάθος κακῶν·
αἱ μὲν γὰρ ἄλλαι διὰ τὸ κάλλος εὐτυχεῖς
γυναῖκες, ἡμᾶς δ᾽ αὐτὸ τοῦτ᾽ ἀπώλεσεν.

ΧΟΡΟΣ.

Ἑλένη, τὸν ἐλθόνθ᾽, ὅςτις ἐστὶν ὁ ξένος,
μὴ πάντ᾽ ἀληθῆ δοξάσῃς εἰρηκέναι.

ΕΛΕΝΗ.

καὶ μὴν σαφῶς γ᾽ ἔλεξ᾽ ὀλωλέναι πόσιν.

ΧΟΡΟΣ.

πόλλ᾽ ἂν γένοιτο, χἀ διὰ ψευδῶν σαφῆ.

ΕΛΕΝΗ.

καὶ τἄμπαλίν γε τῶνδ᾽ ἀληθείας ἔπη.

---

quod vel propter elisionem vitiosum est. G. Dindorfius in Poet. scen. κάρτ᾽, ex Boissonadi coniectura. At desideratur accusativus. C. Keilius ἄρθρ᾽. Mihi aptius et lenius visum σάρκ᾽.

V. 316. Libri veteres ἔλεξεν.

V. 317. 318. Libri: *ΧΟΡ.* πόλλ᾽ ἂν γένοιτο καὶ διὰ ψευδῶν ἔπη. *ἙΛ.* καὶ τἄμπαλίν γε τῶνδ᾽ ἀληθείας σαφῆ. Scaliger: καὶ τοὔμπαλίν γε τῶνδ᾽ ἀληθῆ καὶ σαφῆ, quem L. Dindorfius servato τἄμπαλιν sequutus non habuit numerorum rationem. Musgravius: καὶ τἄμπαλίν γε τῶνδ᾽ ἀλήθειαι σαφεῖς. A quo leviter discessit Th. Bergkius, ἀλήθεια σαφὴς scribi volens, in quod τοὔμπαλιν scribens iam Heathius inciderat. Lentingius ad Med. p. 99. καὶ τοὔμπαλίν γε τὰ δι᾽ ἀληθείας σαφῆ. Matthiae coniecit: καὶ τἄμπαλίν γε τῶν ἀληθείας σαφῆ, id ut esset *contraria ratione quam ea quae vera sunt*, quod haec nonnumquam falsa esse videantur, quum ea quae falsa videntur saepe vera sint. Hoc quidem nimis argutum est. Denique G. Dindorfius in praefatione Poet. scen. p. 27. locum sanissimum coniecturis vexatum censens, ex praecedentibus chori verbis ad ἀληθείας repetendum esse διὰ dicit. Id vereor ut cuiquam persuadeat. Τἄμπαλιν τῶνδε significat *contraria horum*. Aeschylus Pers. 223.

τἄμπαλιν δὲ τῶνδε γαίας κάτοχ᾽ ἀμαυροῦσθαι σκότῳ.

Iam si chorus dicit, πόλλ᾽ ἂν γένοιτο καὶ διὰ ψευδῶν ἔπη, quod est *multa possunt falsa narrari*, necessario, quae Helena horum contraria vocat, vera esse debent: ex quo prodit haec ineptissima

ΧΟΡΟΣ.

εἰς ξυμφορὰν γὰρ ἀντὶ τἀγαθοῦ φέρει.

ΕΛΕΝΗ.

φόβος γὰρ εἰς τὸ δεῖμα περιβαλών μ' ἄγει.

ΧΟΡΟΣ.

πῶς δ' εὐμενείας τοισίδ' ἐν δόμοις ἔχεις;

ΕΛΕΝΗ.

πάντες φίλοι μοι πλὴν ὁ θηρεύων γάμους.

ΧΟΡΟΣ.

οἶσθ' οὖν ὃ δρᾶσον; μνήματος λιποῦσ' ἕδραν,

---

sententia: *etiam vera vera sunt et certa.* Patet haec corrupta esse: sed longius pertinet depravatio. Nam quum chorus admonuisset Helenam, ne omnia vera esse crederet quae hospes ille dixisset, minime placere potest, quod Helenae aperte tamen interitum mariti commemoratum esse dicenti nihil aliud respondet, quam quod iam dixerat, multa falso narrari. Denique quod v. 318. molestiam facit σαφῆ quis non aptius ita positum existimet, ut ad σαφῶς v. 316. referatur? Quod si una littera leviter correcta duarumque vocum, quibus duo contigui versus finiuntur, sedibus commutatis ita scribitur: *ΧΟΡ.* πόλλ' ἂν γένοιτο, χἀ διὰ ψευδῶν σαφῆ. *ΕΛ.* καὶ τἄμπαλίν γε τῶνδ' ἀληθείας ἔπη· nihil usquam relinquitur difficultatis aut incommodi, sed potius et planissima omnia sunt et aptissima. *Πόλλ' ἂν γένοιτο,* ut in Andromedae fragm. XIII. apud Stobaeum CXI. 2.

γένοιτό τἂν πόλλ', ὧν δόκησις οὐκ ἔνι.

Itaque sic procedit colloquium: HEL. *atqui certo dixit periisse virum.* CHOR. *multa eveniunt etiam quae per mendacium certa sunt.* HEL. *at contraria quoque his vera fama.* Consolanti igitur Helenam choro, quod evenire multa soleant, quae mendaciis ut certa praedicata fuerint, ideoque fieri posse ut vivat Menelaus, quum illa respondet, multa quoque quae contraria mendaciis sint vera dicta evenire, quo significat potuisse illum tamen etiam vera dixisse, intelligit chorus eam omnia in peiorem partem trahere: unde dicit εἰς ξυμφορὰν γὰρ ἀντὶ τἀγαθοῦ φέρει.

V. 319. Edd. veteres φέρει, etsi alibi in passivis η habent. Ac φέρῃ Par. E. Flor. 1. 2.

ΕΛΕΝΗ.

εἰς ποῖον ἕρπεις μῦθον ἢ παραίνεσιν;

ΧΟΡΟΣ.

ἐλθοῦσ᾽ ἐς οἴκους, ἣ τὰ πάντ᾽ ἐπίσταται,
τῆς ποντίας Νηρῇδος ἐκγόνου κόρης,
πυθοῦ πόσιν σὸν Θεονόης εἴτ᾽ ἔστ᾽ ἔτι
εἴτ᾽ ἐκλέλοιπε φέγγος· ἐκμαθοῦσα δ᾽ εὖ,
πρὸς τὰς τύχας τὸ χάρμα τοὺς γόους τ᾽ ἔχε.
πρὶν δ᾽ οὐδὲν ὀρθῶς εἰδέναι, τί σοι πλέον
λυπουμένῃ γένοιτ᾽ ἄν; ἀλλ᾽ ἐμοὶ πιθοῦ·
τάφον λιποῦσα τόνδε σύμμιξον κόρῃ,
ὅθενπερ εἴσει πάντα, τἀληθῆ φράσαι·
ἔχουσ᾽ ἐν οἴκοις τοῖσδε, τί βλέπεις πρόσω;
θέλω δὲ κἀγὼ σοὶ συνεισελθεῖν δόμους,
καὶ συμπυθέσθαι παρθένου θεσπίσματα·
γυναῖκα γὰρ δὴ συμπονεῖν γυναικὶ χρή.

ΕΛΕΝΗ.

στροφή.

φίλαι, λόγους ἐδεξάμαν.
βᾶτε, βᾶτε δ᾽ εἰς δόμους,
ἀγῶνας ἐντὸς δόμων
ὡς πύθησθε τοὺς ἐμούς.

V. 333. Libri veteres: ὅθενπερ εἴσῃ πάντα τἀληθῆ φράσαι. Musgravio auctore Matthiae interpunxit: ὅθενπερ εἴσει πάντα. τἀληθῆ φράσαι ἔχουσ᾽ ἐν οἴκοις τοῖσδε, τί βλέπεις πρόσω; Sequuti sunt reliqui editores. Istud τἀληθῆ φράσαι interpretatur Matthiae *dictu vera*. Pflugkio hoc dici visum: *quum in hac domo habeas qui vera edoceat, quid longius spectas?* Sane interpunctione verba laborabant, sed τἀληθῆ φράσαι pendet ex σύμμιξον. *Conveni*, inquit, *virginem, ex qua omnia potes cognoscere, ut vera dicat. Quum in hac domo habeas, quid longius spectas?* Opusne erat dici, quid domi haberet?

V. 340. Solus Flor. 2. ἐντὸς οἴκων, quod receperunt Dindorfii et Pflugkius non animadversis antistrophicis.

ΧΟΡΟΣ.

θέλουσαν οὐ μόλις καλεῖς.

ΕΛΕΝΗ.

ἰὼ μέλεος ἅδ' ἁμέρα.
τίν' ἄρα τάλαινα, τίνα λόγον
δακρυόεντ' ἀκούσομαι,

ΧΟΡΟΣ.

μὴ πρόμαντις ἀλγέων
προλάμβαν', ὦ φίλα, γόους.

ΕΛΕΝΗ.

ἀντιστροφή.
τί μοι πόσις μέλεος ἔτλα,
πότερα δέρκεται φάος
τέθριππά τ' εἰς ἁλίου,
εἰς κέλευθά τ' ἀστέρων,

V. 342. Elmsleius ad Med. 580. k. scribendum putabat οὔ με δὶς καλεῖς, similibus adductus exemplis. Θέλουσαν οὐ μόλις est *non parum cupidam*. Vide ad Vig. p. 787.

V. 343. Libri: ἰὼ μέλεος ἁμέρα. Insertum ἅδ' ab Seidlero.

V. 344. Mutavi ordinem verborum, qui in libris est, δακρυόεντα λόγον, ne ultima versus syllaba solveretur. Nisi forte etiam δακρήεντα dictum est, sicuti θυόεις et θυήεις in usu fuit. Suspicionem certe aliquam capere licet ex Crameri Anecd. I. p. 121.

V. 345. Interrogationis signum et huic versui et versui 348. erat appositum. At usque ad finem versus 355. omnia pendent ex ἀκούσομαι.

V. 346. Edd. vett. μὴ πρόμαντις ἄλγεται; Par. E. Flor. 1. 2. Vict. ἀλγέων.

V. 350. Libri: τέθριππά τ' ἀελίου. Metro indicante scripsi τέθριππά τ' εἰς ἁλίου.

V. 351. Hic Ald. ἐς. Flor. 1. 2. post ἀστέρων addunt δέ. Vide ad v. 354. Indicavi hic defectum duorum versuum. Nam etsi liberior est huius carminis compositio, ut videri possit stropha tantum interpellata esse versibus 342. 343., tamen vere hic exci-

ΧΟΡΟΣ.

* * * * * * * *

ΕΛΕΝΗ.

* * * * * * * *
ἦ 'ν νέκυσι δὴ κατὰ χθονὸς
τὰν χθόνιον ἔχει τύχαν;

ΧΟΡΟΣ.

εἰς τὸ φέρτερον τίθει
τὸ μέλλον, ὅ τι γενήσεται.

ΕΛΕΝΗ.

παρομοιόστροφα.

σὲ γὰρ ἐκάλεσα, σὲ δὲ κατώμοσ'
* * τὸν ὑδρόεντα δόνακι
χλωρὸν Εὐρώ-

---

disse qui istis versibus responderent, eo probabile est, quod tam non necessarii sunt versus 342. 343. ut nemo desideraturus esset omissos. Itaque hic quoque tale quid scriptum fuisse consentaneum est, suntque in promptu, quae simillima istis dici potuerint: ΧΟΡ. ἔτ' ἐλπίς ἐστί σ' εὐτυχεῖν. ΕΛ. οἴμοι δόλιος ἅδ' ἀδονά.

V. 354. Libri: ἦ νέκυς κατὰ χθονός. Lentingius et Matthiae ἦ 'ν νέκυσι: quos sequuti sunt editores. Metri indicio inserui δή. Id in codd. Flor. δὲ scriptum et post ἀστέρων positum est.

V. 358. Nimis audacter Elmsleius ad Iphig. Taur. 96, 1. ita legit: σὲ γὰρ ἐκάλεσα, σὲ δὲ κατόμοσα, τὸν ὑδρόεντα δόνακι χλωρῷ χλωρὸν Εὐρώταν, θανόντος εἴ τι βάξις ἔτυμος ἀνδρὸς ἅδε μοι. Metris consuli lenius poterat, nec recte sine augmento κατόμοσα positum in systemate trochaico. Libri σὲ δὲ κατώμοσα τὸν ὑδρόεντα. Facillime scriberetur σὲ δὲ κατώμοσ', ὦ, τὸν ὑδρόεντα, nisi non veri similis esset productio ista. Scripsisset enim potius τὸν ὑδατόεντα. Nec tamen ὑδρόεντα, licet vix alibi occursurum, etsi notum insulae nomen Ὑδροῦσσα, mutare ausim. Quare omissionis signa posui. Excidisse videtur tale quid, quale ὤ 'να, vel ἁγνέ, vel εἰπέ.

V. 360. Libri χῶρον. Χλωρὸν Stephanus.

ταν, θανόντος ἀνδρὸς εἰ
βάξις ἔτυμος ἅδε μοι,
τί τάδ' ἀσύνετα; φόνιον αἰώ-
ρημα διὰ *
* δέρης ὀρέξομαι,
ἢ ξιφοκτόνον δίωγμα
λαιμορύτου σφαγᾶς
αὐτοσίδαρον ἔσω πελάσω διὰ σαρκὸς ἅμιλλαν,
θῦμα τριζύγοις θεαῖσι
τῷ τε συρίγ-
γων ἀοιδὰν σεβί-
ζοντι Πριαμί-
δᾳ πότ' ἀμφὶ βουστάθμους.

V. 361. Libri: θανόντος εἰ βάξις ἔτυμος ἀνδρὸς ἅδε μοι. Loco suo motum ἀνδρὸς ubi oportebat reposui.

V. 363. Libri: τί τάδ' ἀσύνετα; φόνιον etc. Scaliger verba ista, τί τάδ' ἀσύνετα, choro tribuebat. Et sic Par. E. Flor. 1. 2. At ea ineptissima hic esset interrogatio. Recte in vett. edd. haec Helenae verbis accensentur. Quod dicere debebat, τί τάδ' ἀσύνετα, εἰ φόνιον αἰώρημα ὀρέξομαι; sic eloquitur, ut dicat: *quid hoc insanum? privabo me vita.*

V. 364. Libri: φόνιον αἰώρημα διὰ δέρης ὀρέξομαι. Verte, inquit, Pflugkius: *laqueum letiferum collo iniiciam.* Vertere facilius est, quam ostendere verti ita posse. Quid esset διὰ δέρης monstrare poterat v. 41. Orestis:

ὧν οὔτε σῖτα διὰ δέρης ἐδέξατο.

Nec metrum recte procedit. Scripsisse videtur: φόνιον αἰώρημα διὰ βρόχων δέρης ὀρέξομαι. Itaque lacunae signa posui.

V. 368. Edd. vett. διὰ σάρκας, ἅμιλλα. Flor. 1. 2. Vict. διὰ σαρκός. Ἅμιλλαν restituit Musgravius. Pflugkio ξιφοκτόνον δίωγμα visum est per appositionis figuram additum. Immo sic accipienda sunt verba, ut dicere potuerit: ἢ ξιφοκτόνον δίωγμα (i. e. ξίφος) λαιμορύτου σφαγῆς ἔσω διὰ σαρκὸς πελάσω αὐτοσιδήρῳ ἁμίλλᾳ.

V. 370. Libri: τῷ τε σύραγγ' ἀοιδαὶ σέβιζον Πριαμίδας πότ' ἀμφὶ βουστάθμους. Par. E. τάν τε. Musgravio debetur σεβίζοντι. A Brodaeo ad σύραγγ' ἀοιδαὶ adnotatum, alios legere σύριγγ' ἀοιδόν. Σύριγγ' e Canteri editione receptum in caeteris. Qui insigni audacia hos versus refingebat Elmsleius ad Med. 1224. u. unum recte fecisse videtur, quod scripsit συρίγγων. Matthiae

ΧΟΡΟΣ.

ἄλλοσ' ἀποτροπὰ κακῶν
γένοιτο, τὸ δὲ σὸν εὐτυχές.

ΕΛΕΝΗ.

ἰὼ τάλαινα Τροία,
δι' ἔργ' ἄνεργ' ὄλλυσαι, μέλεά τ' ἔτλας·
τὰ δ' ἐμὰ δῶρα Κύπριδος ἔτεκε
πολὺ μὲν αἷμα, πολὺ δὲ δάκρυον,
ἄχεά τ' ἄχεσι, δάκρυα δάκρυσιν.
ἔλαβε πάθεα * * *   * * *
* * *   * * *   * * *   * * *
ματέρες τε παῖδας·
ἄπο δὲ παρθένοι κόμας

---

ex sua coniectura edidit: σύριγγ' ἀν' Ἴδην σεβίζοντι Πριαμίδᾳ, melius fortasse se ἀν' Ἴδᾳ, ut ἀνὰ Γαργάρῳ, scripturum fuisse putans. Et istud ἀν' Ἴδᾳ receperunt Dindorfii et Pflugkius. Reddidi Euripidi συρίγγων ἀυιδάν.

V. 376. Libri: ἰὼ Τροία τάλαινα. Numerorum caussa ordinem verborum mutavi. Videtur haec carminis pars a v. 377. paromoeostropha habere. Respondent enim sibi et initia v. 377. et qui in fine sunt ithyphallici, inter quos continui decurrunt trochaei, sed, quantum existimari licet, pauciores in antistropha. Inter strophas autem mesodus est v. 383 — 385.

V. 378. Libri Κύπρις. Bene L. Dindorfius Κύπριδος: sed his verbis quod Helenam sui donationem significare putavit, comparans v. 898. τοὺς Ἀλεξάνδρου γάμους, δώρημα Κύπριδος, possunt illa quidem sic explicari, verum multo simplicius formositatem intelligi monent sic ab Homero Iliad. III. 54. dicta δῶρ' Ἀφροδίτης. Et concinunt cum hac interpretatione supra v. 312. seq. et hoc ipso in carmine v. 392. seqq.

V. 380. Libri: δάκρυα δάκρυσιν ἔλαβε πάθεα. ματέρες τε παῖδας ὤλεσαν. Interpretes ἔλαβε πάθεα de Troia dictum putant. Ea non solum nimia, praesertim in Euripide, sed etiam absurda brevitas foret. Apertissimum esse puto excidisse nonnulla, ostenditque vel ieiunum illud et metro adversum ὤλεσαν, quod non dubitandum quin sit ab aliquo librario profectum, qui hiantem sententiam integrare vellet. Quare delevi posuique lacunae signa. Scripserat Euripides tale quid: ἔλαβε πάθεα πόσιν ὀλόμενον ἄλοχος εὖνις ἀνακαλοῦσα, ματέρες τε παῖδας.

ἔθεντο σύγγονοι νεκρῶν Σκαμάνδριον
ἀμφὶ Φρύγιον οἶδμα.
βοάν, βοὰν δ' Ἑλλὰς ἐκελάδησε κἀν-
ωτότυξεν, ἐπὶ δὲ κρατὶ
χέρας ἔθηκεν, ὄνυχι δ' ἁπαλό-
χροα γένυν ἔδευσε * *
φοινίαισι πλαγαῖς.
ὦ μάκαρ Ἀρκαδίᾳ ποτὲ παρθένε
Καλλιστοῖ, Διὸς
ἃ * * λεχέων ἐπέβας τετραβάμοσι γυίοις,
ὡς πολὺ ματρὸς ἐμᾶς ἔλαχες πλέον,
ἃ μορφᾶς θηρῶν λαχνογυίων

V. 387. Edd. vett. κελάδησε, κἀνοτότυξεν. Ne novissimi quidem editores ἐκελάδησε scripserunt.

V. 390. Legebatur ἔδευσε φονίαισι πλαγαῖς. Scripsi φοινίαισι et posui lacunae signa. Nam excidisse aliquid et metrum et sententia ostendit. Satis integer locus videbitur, si scribatur ἔδευσεν αἷμα φοινίαισι πλαγαῖς. Sed πλαγαὶ tamen quum aptius de pectoribus tundendis dicatur, nescio an plura exciderint. Ac fortasse antistropha totidem quot stropha versus habuit.

V. 394. Libri ἃ λεχέων sine lacunae indicio. Sed videtur hic versus heroicus fuisse, ut 399. excidisseque ζαθέων.

V. 396. Edd. vett. ἅ μορφᾷ θηρᾶν λάχνα γυίων, ὄμματι λάβρῳ σχῆμα λεαίνης, ἐξαλλάξασ' ἄχεα λύπης. Brodaeus θηρῶν. Deinde λαχνογυίων scribendum esse viderunt Reiskius et Musgravius. Ἁ — ἐξαλλάξασα autem quum Matthiae, qui ἃ — ἐξαλλάξας edidisset, non mutandum fuisse dixit, non cogitavit, participium cum articulo definitioni, non reddendae rationi inservire. Omnino et pronomen ἃ et verbum hic requiritur, quod quum alii viderunt, tum Sigonius, qui Emend. lib. I. c. 45. in Gruteri Face crit. vol. II. p. 240. λύπης in λείπεις (sic enim, credo, non λείπης, scripsit) mutari voluit. Porro ὄμματι λάβρῳ interpretantur *truci adspectu, torvo lumine*. At id non significat illud nomen. Multo magis mirum est, quod Matthiae λάβρῳ σχῆμα coniungi voluit, id ut esset οὗ τὸ σχῆμα λάβρον ἐστί. Callisto sive in ursam, sive in leaenam mutata dicitur, non de oculis, sed de corporis specie dicendum erat. Ac de leaena potius χάσματι λάβρῳ dixisset poeta. Sed num ita tradidit Euripides, leaenam factam esse? Videri dicit Matthiae. Valckenarius ad Callimachi fragm. p. 174. hunc locum tractanti expendenda commendavit haec in Homiliis Clementinis V. c. 13. Ζεὺς — Καλλιστοῖ ἠγριώθη λέων, καὶ ἄλλον τίκτει

ὄμματι λάβρῳ σχῆμα διαίνεις,
ἐξαλλάξασ᾽ ἄχθεα λύπης·
ἄν τέ ποτ᾽ Ἄρτεμις ἐξεχορεύσατο
χρυσοκέρατ᾽ ἔλαφον, Μέροπος Τιτανίδα κούραν,
καλλοσύνας ἕνεκεν· τὸ δ᾽ ἐμὸν δέμας
ὤλεσεν, ὤλεσε Πέργαμα Δαρδανίας
ὀλομένους τ᾽ Ἀχαιούς.

ΜΕΝΕΛΑΟΣ.

ὦ τὰς τεθρίππους Οἰνομάῳ Πῖσαν κάτα

Ἀρκάδα. Pflugkius quum videndum ait, an σχῆμα λεαίνης dictum sit, ut apud Aeschylum τρόπον αἰγυπιῶν, Euripidem dicentem fecit aut puellam more leaenae in ursam mutatam esse, aut more leaenae liberatam esse malis. Communem famam sequutum esse Euripidem minime dubium relinquit μορφὰ θηρῶν λαχνογυίων, quod in ursam, non in leaenam quadrat. Sed verba si consideramus, ex ursa in leaenam mutata dicitur Callisto. Patet ex his praecipuum vitium in λεαίνης esse. Videor mihi omnia expedivisse, quum sic emendavi: ἃ μορφᾶς θηρῶν λαχνογυίων ὄμματι λάβρῳ σχῆμα διαίνεις, ἐξαλλάξασ᾽ ἄχθεα λύπης. *Quae formae hirsutarum ferarum speciem largo oculo defles, commutato pondere doloris.* Sic ὄμματι λάβρῳ recte de uberibus lacrimis dictum. Σχῆμα μορφῆς dixit in Ione v. 992.

ποῖόν τι μορφῆς σχῆμ᾽ ἔχουσαν ἀγρίας;

Διαίνειν πῆμα dixit Aeschylus in Persis v. 1043. Denique quod commutasse pondus doloris dicitur, eo refertur, quod quum prius propter virginitatem amissam doluisset, nunc dolet ob formae mutationem. Praesenti usus est poeta, quod manet in caelo ursa.

V. 399. Quae hic commemoratur Meropis filia, de cuius in cervam mutatione nihil constat, fortasse Cos est, a qua nomen accepit insula. Ἐξεχορεύσατο comparari potest cum eo, quod apud Ovidium Met. II. 465. Callisto experta est:

deque suo iussit secedere coetu.

V. 400. Edd. vett. χρυσοκέρω τ᾽. Flor. 1. 2. Vict. χρυσοκέρατ᾽, sed in Flor. 2. Vict. superscripto ω. Hanc iustam esse formam ostendit Elmsleius ad Ai. 382. et ad Bacch. 919.

V. 402. Nescio an scripserit Euripides Δαρδάνι᾽. Facillime apostrophus cum compendio ας syllabae permutari potuit. Habet tamen interdum penultimus in dactylicis systematis versus, si ultimus aliis numeris est, aliquid ultra usitatam mensuram.

V. 404. Ante L. Dindorfium legebatur Πίσαν. Vide ad Iph. Taur. 1.

Πέλοψ ἁμίλλας ἐξαμιλληθείς ποτε,
εἴθ' ὤφελες τόθ', ἡνίκ' ἔρανον εἰς θεοὺς
* * * * * * * * * * * *
πεισθεὶς ἐποίει σ', εὐθέως λιπεῖν βίον,
πρὶν τὸν ἐμὸν Ἀτρέα πατέρα γεννῆσαί ποτε,
ὃς ἐξέφυσεν Ἀερόπης λέκτρων ἄπο
Ἀγαμέμνον' ἐμέ τε Μενέλεων, κλεινὸν ζυγόν·
πλεῖστον γὰρ οἶμαι, καὶ τόδ' οὐ κόμπῳ λέγω,
στράτευμα κώπῃ διορίσαι Τροίαν ἔπι,
τύραννος οὐδὲν πρὸς βίαν στρατηλατῶν,
ἑκοῦσι δ' ἄρξας Ἑλλάδος νεανίαις·
καὶ τοὺς μὲν οὐκέτ' ὄντας ἀριθμῆσαι πάρα,
τοὺς δ' ἐκ θαλάσσης ἀσμένως πεφευγότας,
νεκρῶν φέροντας ὀνόματ' εἰς οἴκους πάλιν.
ἐγὼ δ' ἐπ' οἶδμα πόντιον γλαυκῆς ἁλὸς

V. 406. Flor. 1. 2. Vict. edd. vetustissimae: εἴθ' ὤφελες τόθ', ἡνίκ' ἔρανον εἰς θεοὺς πεισθεὶς ἐποίεις, ἐν θεοῖς λιπεῖν βίον. H. Stephanus quum in codd. suis, qui nulli fuerunt, πρισθεὶς legi dixisset, Canterus et reliqui editores in ea scriptura ita acquieverunt, ut ne illi quidem, a quibus explicatio exspectabatur, aliud fecerint quam, quod facillimum est, ut tacerent. Si quidquam, certissimum est excidisse versum. Neque aut ἔρανον εἰς θεοὺς aut ἐν θεοῖς sanum esse potest, quorum prius vix dubitabit quin scriptum fuerit ἔρανον εἰς θεῶν, qui meminerit Pindari de ea re dicentis ὁπότ' ἐκάλεσε πατὴρ τὸν εὐνομώτατον ἐς ἔρανον, alterum autem res ipsa monet fuisse εὐθέως. Quae de ista re tradita sunt ab scholiastis Pindari ad Ol. I. veri simile faciunt, ad hunc fere modum scripsisse Euripidem:

εἴθ' ὤφελες τόθ', ἡνίκ' ἔρανον εἰς θεῶν
σφαγέντα καινὸν Ζεὺς πάλιν Δηοῦς λιταῖς
πεισθεὶς ἐποίει σ', εὐθέως λιπεῖν βίον.

V. 410. Male Flor. 1. 2. οὓς ἐξέφυσεν.

V. 413. Edd. vett. διορίσας. Sed διορίσαι, quod Canterus coniecit, habent Flor. 1. 2. Vict. Frequens apud tragicos est commemoratio Atridarum, ut supremorum ducum: sed ubi unus qui exercitui praefuerit nominatur, est is Agamemno, ut suspicari quis possit, διορίσας Aldinae indicium facere omissionis alicuius post v. 415. Non erat tamen hic ulla caussa, ut de Agamemnone potius quam de se ipso loqueretur Menelaus, quod eum facere etiam illa produnt, καὶ τόδ' οὐ κόμπῳ λέγω.

τλήμων ἀλῶμαι χρόνον ὅσονπερ Ἰλίου
πύργους ἔπερσα, κεἰς πάτραν χρῄζων μολεῖν,
οὐκ ἀξιοῦμαι τοῦδε πρὸς θεῶν τυχεῖν,
Λιβύης δ' ἐρήμους ἀξένους τ' ἐπιδρομὰς
πέπλευκα πάσας· χὤταν ἐγγὺς ὦ πάτρας,
πάλιν μ' ἀπωθεῖ πνεῦμα, κοὔποτ' οὔριον
εἰςῆλθε λαῖφος, ὥςτε μ' εἰς πάτραν μολεῖν.
καὶ νῦν τάλας ναυαγός, ἀπολέσας φίλους,
ἐξέπεσον εἰς γῆν τήνδε· ναῦς δὲ πρὸς πέτρας
πολλοὺς ἀριθμοὺς ἄγνυται ναυαγίων.
τρόπις δ' ἐλείφθη ποικίλων ἁρμοσμάτων,
ἐφ' ἧς ἐσώθην μόλις ἀνελπίστῳ τύχῃ
Ἑλένη τε, Τροίας ἣν ἀποσπάσας ἔχω.
ὄνομα δὲ χώρας, ἥτις ἥδε καὶ λεώς,
οὐκ οἶδ'· ὄχλον γὰρ εἰςπεσεῖν ᾐσχυνόμην,
ὥςθ' ἱστορῆσαι τὰς ἐμὰς δυςχλαινίας,

V. 421. Flor. 1. 2. καὶ εἰς. In 2. ab alia manu superscriptum κεἰς. Edd. vett. χρῄζω. Flor. 1. 2. Vict. Steph. χρῄζων.

V. 423. Edd. vett. Λιβύος τ' ἐρήμους ἀξένους τ' ἐπιδρομάς. Flor. 1. 2. Vict. ut Canterus, Λιβύης. Musgravius ὑποδρομὰς vel ὑποδρόμους scribi volebat. Exemplis addere poterat Arrianum in Periplo maris Erythraei p. 2. ubi perperam legitur: ὁ δὲ τόπος ἀλίμενος καὶ σκάφαις μόνον τὴν ἀποδρομὴν ἔχων. Sed ἐπιδρομάς, quod est *accessus*, non mutandum: sumpsitque hinc, ut videtur, interpolator Iphigeniae in Aulide v. 1597. Ἰλίου τ' ἐπιδρομάς. Seidlerus coniiciebat ἀξένους τ' ἐς ἐπιδρομάς, quod sane ad numeros convenientius est. Malim tamen ἀν' ἐπιδρομάς. Praeterea vitium est etiam in nexu sententiarum. Nam praegressa negatione, οὐκ ἀξιοῦμαι τοῦδε πρὸς θεῶν τυχεῖν, quod sequitur non per copulam, sed per ἀλλὰ aut δὲ inferendum erat. Quare minore in fine praecedentis versus interpunctione posita Λιβύης δ' ἐρήμους scripsi.

V. 430. Libri ἐλήφθη, quod emendavit Stephanus.

V. 431. Edd. vett. Flor. 2. Vict. ἐφ' οἷς. Canterus et Flor. 1. ἐφ' ἧς.

V. 433. Edd. vett. ὄνομα δὲ χώρας, ἠδὲ καὶ λεών. Sic etiam, sed λεώς, MS. G. Veram scripturam praebuerunt Par. E. Flor. 1. 2. Vict.

V. 434. Libri εἰςπεσεῖν, non ἐςπεσεῖν.

κρύπτων ὑπ' αἰδοῦς τὰς τύχας. ὅταν δ' ἀνὴρ
πράξῃ κακῶς ὑψηλός, εἰς ἀηθίαν
πίπτει κακίω τοῦ πάλαι δυςδαίμονος.
χρεία δὲ τείρει μ'· οὔτε γὰρ σῖτος πάρα
οὔτ' ἀμφὶ χρῶτ' ἐσθῆτες· αὐτὰ δ' εἰκάσαι
πάρεστι· ναὸς ἐκβόλοις ἀμπίσχομαι.
πέπλους δὲ τοὺς πρὶν λαμπρά τ' ἀμφιβλήματα
χλιδάς τε πόντος ἥρπασ'· ἐν δ' ἄντρου μυχοῖς
κρύψας γυναῖκα τὴν κακῶν πάντων ἐμοὶ
ἄρξασαν, ἥκω, τούς τε περιλελειμμένους
φίλων, φυλάσσειν τἄμ' ἀναγκάσας λέχη.
μόνος δὲ νοστῶ, τοῖς ἐκεῖ ζητῶν φίλοις
τὰ πρόςφορ' ἤν πως ἐξερευνήσας λάβω.
ἰδὼν δὲ δῶμα περιφερὲς θριγκοῖς τόδε
πύλας τε σεμνὰς ἀνδρὸς ὀλβίου τινός,
προςῆλθον· ἐλπὶς δ' ἔκ γε πλουσίων δόμων
λαβεῖν τι ναύταις· ἐκ δὲ μὴ 'χόντων βίον,
οὐδ' εἰ θέλοιεν, ὠφελεῖν ἔχοιεν ἄν.
ὠή· τίς ἂν πυλωρὸς ἐκ δόμων μόλοι,
ὅςτις διαγγείλειε τἄμ' εἴσω κακά;

ΓΡΑΥΣ.

τίς πρὸς πύλαισιν; οὐκ ἀπαλλάξει δόμων,
καὶ μὴ πρὸς αὐλείοισιν ἑστηκὼς πύλαις
ὄχλον παρέξεις δεσπόταις; ἢ κατθανεῖ,
Ἕλλην πεφυκώς, οἷσιν οὐκ ἐπιστροφαί.

V. 437. Non opus erat ut Portus et Reiskius *ἀηδίαν* coniicerent.

V. 439. Libri *σῖτον*. Ex Barnesii et Musgravii coniectura *σῖτος* Matthiae, dicentem de eo vocabulo afferens Schaeferum ad Soph. Electr. 1366. p. 247.

V. 445. Libri: *τούς γε περιλελειμμένους φίλων φυλάσσειν τἄμ' ἀναγκάσας λέχη*. Nimis importuna hic *γε* particula. Eam in *τε* mutavi, ut etiam *τούς τε περιλελειμμένους φίλων* ex *κρύψας* penderet, ad *φυλάσσειν* autem intelligeretur *αὐτούς*.

V. 451. Libri *ἔκ τε*. Correxit Musgravius.

ΜΕΝΕΛΑΟΣ.

ὦ γραῖα, ταῦτα πάντ' ἔπη καλῶς λέγεις.
ἔξεστι· πείσομαι γάρ· ἀλλ' ἄνες μόνον.

ΓΡΑΥΣ.

ἄπελθ'· ἐμοὶ γὰρ τοῦτο προςκεῖται, ξένε,
μηδένα πελάζειν τοισίδ' Ἑλλήνων δόμοις.

ΜΕΝΕΛΑΟΣ.

ἆ μὴ προςείλει χεῖρα, μηδ' ὤθει βίᾳ.

ΓΡΑΥΣ.

πείθει γὰρ οὐδὲν ὧν λέγω· σὺ δ' αἴτιος.

V. 460. Edd. vett. ταῦτα ταῦτ' ἔπη καλῶς λέγεις. Quod Stephanus ex suis MSS. si qui fuerunt attulit, ταῦτα πάντ' ἔπη, praebuerunt codd. Parisini et Florentini.

V. 461. De ἔξεστι, quo, sicut praecedentibus verbis, placare studet anum, quasi probans omnia quae illa dixit, monui ad Bacchas v. 835. Sed quod in libris legitur ἄνες λόγον, nullo pacto significare potest *permitte sermonem, sermonis facultatem da*, ut cum Musgravio Pflugkius putat. Immo id esset *remitte mihi sermonem, permitte ut taceam*. Sic in Andromacha v. 532. ἄνες θάνατόν μοι. Quam Matthiae attulit interpretationem, *mitioribus verbis utere*, etsi per verbi naturam ferri potest, tamen repugnat praecedentibus, omninoque, etiam si non repugnaret, admitti non posset, quia ista languidissima esset sententia. Anus vix paullum laxatam ianuam rursus occlusura est: quod ut impediat Menelaus, probat omnia quae illa dixit, dummodo aperiat fores, nec se ei subtrahat. Id restitui λόγον in μόνον mutato. Comparari potest hoc in Bacchis v. 448.

κλῇδές τ' ἀνῆκαν θύρετρ' ἄνευ θνητῆς χερός.

V. 464. Edd. vett. προςείλα. Par. E. G. προςείλει, sed in G. superscripto προςείλα. Matthiae, quem sequuti sunt alii, πρόσειε scripsit, comparans Herc. fur. 1218.

τί μοι προσείων χεῖρα σημαίνεις φόνον;

At non satis fuisse huic anui motu manus monere Menelaum ut abiret, non modo res ipsa quae agitur, sed etiam verba quae sequuntur ostendunt, μηδ' ὤθει βίᾳ. Recte codices μὴ προςείλει χεῖρα, quod est *ne admove pugnum, ut me arceas*. Usus eo verbo Homerus est Iliad. X. 347.

αἰεί μιν προτὶ νῆας ἀπὸ στρατόφιν προτιειλεῖν.

ΜΕΝΕΛΑΟΣ.

ἄγγειλον εἴσω δεσπόταισι τοῖσι σοῖς.

ΓΡΑΥΣ.

πικρῶς ἂν οἶμαί γ' ἀγγελεῖν τοὺς σοὺς λόγους.

ΜΕΝΕΛΑΟΣ.

ναυαγὸς ἥκω, ξένος, ἀσύλητον γένος.

ΓΡΑΥΣ.

οἶκον πρὸς ἄλλον νύν τιν' ἀντὶ τοῦδ' ἴθι.

ΜΕΝΕΛΑΟΣ.

οὔκ, ἀλλ' ἔσω πάρειμι· καὶ σύ μοι πιθοῦ.

ΓΡΑΥΣ.

ὀχληρὸς ἴσθ' ὤν· καὶ τάχ' ὠσθήσει βίᾳ.

ΜΕΝΕΛΑΟΣ.

αἰαῖ· τὰ κλεινὰ ποῦ 'στί μοι στρατεύματα;

ΓΡΑΥΣ.

οὐκοῦν ἐκεῖ πού σεμνὸς ἦσθ', οὐκ ἐνθάδε.

ΜΕΝΕΛΑΟΣ.

1429. Edd. vett. οἵαν χρῆν ἔχειν. Flor. 1. 2. χρή. Unde Matthiae οἵαν χρή σ' ἔχειν.

1431. Sententia haec est: *nam haec ad aliquam bonam fortunam tendunt.*

1435. Edd. vett. καὶ 'ρετμῶν.

1437. Edd. vett. μάλιστ' ἀκούειν τοῦδε χρῆν ναύτας ἐμούς. Par. E. τούσδε. Reiskius χρή. Interpunxi post μάλιστα, quod fecerunt etiam Bothius et Pflugkius.

ΕΛΕΝΗ.

αὖθις κέλευσον, ἵνα σαφῶς μάθωσί σου.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

αὖθις κελεύω, καὶ τρίτον γ', εἴ σοι φίλον.

ΕΛΕΝΗ.

ὄναιο, κἀγὼ τῶν ἐμῶν βουλευμάτων.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

μή νυν ἄγαν σὸν δάκρυσιν ἐκτήξῃς χρόα.

ΕΛΕΝΗ.

ἥδ' ἡμέρα σοι τὴν ἐμὴν δείξει χάριν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

τὰ τῶν θανόντων οὐδέν, ἀλλ' ἄλλως πόνος.

ΕΛΕΝΗ.

ἔστιν τι κἀκεῖ κἀνθάδ', ὧν ἐγὼ λέγω.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

οὐδὲν κακίω Μενέλεώ μ' ἕξεις πόσιν.

ΕΛΕΝΗ.

οὐδὲν σὺ μεμπτός· τῆς τύχης με δεῖ μόνον.

1441. Vulgo μὴ νῦν. L. Dindorfius μή νυν Elmsleii monitu ad Med. 156. in addendis.

1443. Edd. vett. ἀλλ' ἁπλῶς πόνος. Flor. 1. 2. Vict. ἀλλ' ἄλλως πόνος, quod altero aptius videtur.

1444. Non ineleganter Musgravius coniiciebat ὧν ἔγωγ' ἐρῶ, id ut esset: *quorum amore teneor*. Sed non opus quidquam mutari, quia quum aliquid hic, aliquid illic esse eorum quae in mente habeat dicit, simul et Theoclymeni et Menelai se curam habere significat.

1446. Libri: τῆς τύχης μέλει μόνον. Musgravii coniectu-

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἐν σοὶ τόδ', ἣν σὴν εἰς ἔμ' εὔνοιαν διδῷς.

ΕΛΕΝΗ.

οὐ νῦν διδαξόμεσθα τοὺς φίλους φιλεῖν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

βούλει ξυνεργῶν αὐτὸς ἐκπέμψω στόλον;

ΕΛΕΝΗ.

ἥκιστα· μὴ δούλευε σοῖς δούλοις, ἄναξ.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἀλλ' εἶα· τοὺς μὲν Πελοπιδῶν ἐῶ νόμους.
καθαρὰ γὰρ ἡμῖν δώματ'· οὐ γὰρ ἐνθάδε
ψυχὴν ἀφῆκε Μενέλεως· ἴτω δέ τις
φράσων ὑπάρχοις τοῖς ἐμοῖς φέρειν γάμων
ἀγάλματ' οἴκους εἰς ἐμούς· πᾶσαν δὲ χρὴ
γαῖαν βοᾶσθαι μακαρίαις ὑμνῳδίαις

---

ram, τῆς τύχης με δεῖ μόνον, quam probavit Elmsleius ad Med. 552. recepit Schaeferus. Matthiae vulgatam defendit, quae sane quodammodo potest defendi: sed ea verentis potius, quam spem ostendentis oratio est. Non male scriberetur: τῇ τύχῃ μέλοι μόνον. Et coniecerat μέλοι Brodaeus. Similiter loquutus est in Iph. Taur. 909. τῇ τύχῃ δ' οἶμαι μέλειν τοῦδε ξὺν ἡμῖν.

1455. Libri χρῆν, servatum ab Elmsleio ad Herc. fur. 57.

1456. Βοᾶσθαι quomodo dictum sit si quis quaerat, non multum opis petere poterit ex Parisiensi editione Thesauri Stephaniani, in quo neque hic locus, nec quae ad eum Matthiae adnotavit, nec, quod mirere, aut Dobraeus in addendis Aristophaneis p. 136. ad Vesp. 1223. aut Elmsleius ad Herc. fur. 57. et ad Oed. Tyr. 1094. sunt memorati. Et Dobraeus quidem haud sane firmo argumento medium potestate activa dictum statuebat, in quam rem Matthiae ex Iphig. Aul. 437. affert:

ὑμέναιον εὐτρέπιζε καὶ κατὰ στέγας
λωτὸς βοάσθω καὶ ποδῶν ἔστω κτύπος.

Elmsleius autem passivum defendit comparans αὐλεῖται πᾶν μέ-

ὑμέναιον Ἑλένης κἀμόν, ὡς ζηλωτὸς ᾖ.
σὺ δ᾽, ὦ ξέν᾽, ἐλθὼν, πελαγίους ἐς ἀγκάλας
τῷ τῆςδε πρίν ποτ᾽ ὄντι δοὺς πόσει τάδε,
πάλιν πρὸς οἴκους σπεῦδ᾽, ἐμὴν δάμαρτ᾽ ἔχων,
ὡς τοὺς γάμους τοὺς τῆςδε συνδαίσας ἐμοὶ
στέλλῃ πρὸς οἴκους, ἢ μένων εὐδαιμονῇς.

ΜΕΝΕΛΑΟΣ.

ὦ Ζεῦ, πατήρ τε καὶ σοφὸς κλῄζει θεός·
βλέψον πρὸς ἡμᾶς καὶ μετάστησον κακῶν.
ἕλκουσι δ᾽ ἡμῖν πρὸς λέπας τὰς συμφορὰς
σπουδῇ σύναψαι· κἂν ἄκρᾳ θίγῃς χερί,
ἥξομεν ἵν᾽ ἐλθεῖν βουλόμεσθα τῆς τύχης.
ἅλις δὲ μόχθων οὓς ἐμοχθοῦμεν πάρος.
κέκλησθέ μοι, θεοὶ, πολλά, χρήστ᾽ ἐμοὶ τυχεῖν

λαθρον in Iphig. Taur. 367. cui ad Heracl. 402. addit quod ibi legitur θυηπολεῖται ἄστυ, illa autem, ὑμέναιον Ἑλένης κἀμόν, accusativos esse putat, quibus totius rei eventus significetur. Nisi me fallit coniectura, βοᾶσθαι, sic dictum, ut, quae proprie passiva significatio est, resonare indicet, recte construitur ut simul activum cum accusativo.

1465. Libri πρὸς λύπας. Emendavit Musgravius, comparans Alcest. 502.

> καὶ τόνδε τοὐμοῦ δαίμονος πόνον λέγεις·
> σκληρὸς γὰρ αἰεὶ καὶ πρὸς αἶπος ἔρχεται.

1469. Libri: κέκλησθέ μοι θεοὶ, πολλὰ χρήστ᾽ ἐμοῦ κλύειν καὶ λυπρά γ᾽. Scaliger καὶ λύπρ᾽. Musgravium, qui κέκτησθέ μοι et πόλλ᾽ ἄχρηστα scribendum putabat, quod vertit: *meruistis, o dii mei, ut multa de me audiatis inamoena et tristia,* ego non magis me intelligere fateor, quam quod Bothius edidit: κέκλησθέ μοι, θεοὶ, πόλλ᾽ ἄχρηστ᾽ ἐμοῦ κλύειν καὶ λύπρ᾽· aut, quam Pflugkius, qui servavit πολλὰ χρήστ᾽, incredibilem in his verbis sententiam invenit: *testes vos saepe adhibui, dii, ut quam essem probus quamque idem miser cognosceretis.* Animi caussa haec attuli omnipotentum interpretum commenta. Porsonus ad Orest. 1662. hunc se locum pro corrupto habere significavit: et quis hunc virum id non vidisse credat? Qui invocant deos, invocant, ut audiant dii: sed id dici valde inutile est, nisi dicant, quid orent. Posui, quod sententia flagitabat: κέκλησθέ μοι, θεοί, πολλά,

κἄλυπ'. ὀφείλω δ' οὐκ ἀεὶ πράσσειν κακῶς,
ὀρθῷ δὲ βῆναι ποδί. μίαν δ' ἐμοὶ χάριν
δόντες, τὸ λοιπὸν εὐτυχῆ με θήσετε.

ΧΟΡΟΣ.

στροφὴ α'.

Φοίνισσα Σιδωνιὰς ὦ
ταχεῖα κώπα, ῥοθίοισι μάτηρ,
εἰρεσίᾳ φίλα,
χοραγὲ τῶν καλλιχόρων
δελφίνων, ὅταν αὔραις πέλαγος νήνεμον ᾖ,
γλαυκὰ δὲ Πόντου θυγάτηρ
Γαλάνεια τάδ' εἴπῃ·
κάτα μὲν ἱστία πετάσατ' αὔ-
ραις λείποντες εἰναλίαις,
λάβετε δ' ἐλατίνας πλάτας,
ἰὼ ναῦται, ἰὼ ναῦται,

χρῆστ' ἐμοὶ τυχεῖν κἄλυπ'. Similiter Amphitruo in Herc. fur. 501. Iovem orans:

καίτοι κέκλησαι πολλάκις· μάτην πονῶ.

1473. Discedunt Menelaus et Helena cum ministris a Theoclymeno datis ad portum, rex autem in domum se recipit.

1474. Edd. vetustissimae: ῥόθοισι μήτηρ εἰρεσία φίλα. Primus Canterus ῥοθίοισι scripsit. Μάτηρ Matthiae. Deinde Barnesius εἰρεσίᾳ.

1477. Coniunxi duos versiculos in unum choriambicum. Musgravius antistrophici versus caussa, in quo scriptum videret νύχιον εἰς εὐφροσύναν, absurdumque esse hic πέλαγος νήνεμον ratus, coniecerat πέλαγος εὐήνεμον. Apte comparavit Pflugkius Virgilii in Ecl. 26. verba: *quum placidum ventis staret mare.* Videndus acute de hoc genere disputans Lobeckius ad Aiac. 674.

1481. Legebat λιπόντες ἐναλίαις. Recte Seidlerus λείποντες εἰναλίαις.

1483. Libri ὦ ναῦται, ἰὼ ναῦται, nisi quod Flor. 1. omittit ἰώ. Hinc Elmsleius in Bacchis v. 577. edidit ὦ Βάκχαι, ἰὼ Βάκχαι, quum libri bis ἰὼ Βάκχαι exhiberent. Non debebam eum sequi, quum ederem Bacchas. Potius hic quoque bis ἰὼ ναῦ-

πέμποντες εὐλιμένους
Περσείων οἴκων Ἑλέναν ἐπ' ἀκτάς.

ἀντιστροφὴ α'.

ἤπου κόρας ἂν ποταμοῦ
παρ' οἶδμα Λευκιππίδας, ἢ πρὸ ναοῦ
Παλλάδος ἂν λάβοις,
χρόνῳ ξυνελθοῦσα χοροῖς
ἢ κώμοις Ὑακίνθου νυχίαν εὐφροσύναν,
ὃν ἐξαμιλλησάμενος
τροχῷ τέρμονι δίσκου

ται scribendum esse, intelligi potest quamvis ex corrupto versu antistrophico.

1485. Perseus condidisse Mycenas credebatur, de quo Pausanias II. 15, 4. 16, 3. Memorat autem poeta Mycenas non, quod Menelaum infra precantem facit ut ad Naupliam feratur, sed antiquos auctores sequutus, qui eum priusquam Spartam veniret in portu Argivo navem appulisse tradiderant. Id illi autem collegerant ex Odysseae III. 311. seqq. etsi nihil de ea re est in IV. 583. seqq.

1487. Non adnotavit Matthiae edd. vett. προνάου habere, mutatumque id in πρὸ ναοῦ esse a Cantero. Minervam intelligi χαλκίοικον ex v. 252. monuit Barnesius. De Leucippi filiarum, quas Dioscuri rapuerunt, fabula videndus Werferus in Actis Monac. T. II. fasc. 4. p. 502. seqq. Sed quae hic Leucippides dicuntur, illae sunt, de quibus Pausanias III. 16, 1. πλησίον δὲ Ἱλαείρας καὶ Φοίβης ἐστὶν ἱερόν. ὁ δὲ ποιήσας τὰ ἔπη τὰ Κύπρια θυγατέρας αὐτὰς Ἀπόλλωνός φησιν εἶναι. κόραι δὲ ἱερῶνταί σφισι παρθένοι καλούμεναι κατὰ ταὐτὰ ταῖς θεαῖς καὶ αὐταὶ Λευκιππίδες.

1490. Libri: νύχιον εἰς εὐφρόναν. Matthiae scripsit νυχίαν εὐφροσύναν. De Hyacinthiis praeter eos, qui de festis Graecorum scripserunt, disseruit Welckerus in illa quae de Lino est disputatione, in diurnis scholasticis a. 1830. fasc. 3. p. 20. seqq. Nocturna illa sacra fuisse non est traditum a Polycrate in Laconicis, cuius de eo festo narrationem rettulit Athenaeus IV. p. 139. D.

1492. Libri: τροχῷ τέρμονι δίσκου. Matthiae quum scriberet τέρμονα, quod regeretur ab ἐξαμιλλησάμενος, per incuriam edidisse videtur τρόχῳ: nam si consulto fecisset, maluisset, opinor, distinguere verba, τρόχῳ, τέρμονι δίσκου, quam accusativum ponere. Sed tamen, ut ipse, Dindorfii quoque et Pflugkius, ea

ἔκανε Φοῖβος, ὅθεν Λακαί-
νᾳ γᾷ βούθυτον ἁμέραν
ὁ Διὸς εἶπε σέβειν γόνος,
μόσχον θ', ἂν λιπέτην οἴκοις
* * * * * * *
ἃς οὔπω πεῦκαι πρὸ γάμων ἔλαμψαν.

---

dem, ut videtur, incuria: τρόχῳ τέρμονα δίσκου. Mihi, quamquam si ἐξαμιλλησάμενος τροχῷ τέρμονα δίσκου scribitur, plana est sententia, tamen propter posituram verborum et consuetudinem Euripidis, verbum illud de eo qui vincitur aut expugnatur dicere amantis, ἐξαμιλλησάμενος cum ὃν coniungendum atque ad Hyacinthum videtur referendum esse. Quare nihil mutandum duxi. Credo enim audacius loquutum esse poetam, ut substantivo potestatem tribueret adiectivi, quasi diceret τροχῷ τερμονίῳ δίσκου. Scio inverti hoc posse, ut τροχῷ pro adiectivo sit, siquidem grammatici τρόχον τὸν τρεχόμενον, τροχὸν autem τὸν τρέχοντα interpretantur: vid. Valcken. animadv. ad Ammonium p. 216. sed res qua de hic agitur commendat alterum.

1493. Libri: ἔκανε Φοῖβος τᾷ Λακαίνᾳ γᾷ, βούθυτον ἁμέραν. Flor. 1. 2. tamen ἐβούθυτον. Matthiae τᾷ uncis inclusit, et post γᾷ addidit metri caussa δέ, quo nec metrum restituitur, sententiae autem non apte connectuntur. Tenuerunt tamen hoc L. Dindorfius et Pflugkius. Pro isto τᾷ scribendum esse ὅθεν dixi in praefatione Iphigeniae Aul. p. 17.

1495. Edd. vett. et codd. ὁ Διὸς δ'. Deletum δ' a Musgravio.

1496. Libri: μόσχον θ' ἂν λίποιτ' οἴκοις. Malam Musgravii coniecturam, ἂν λιπόντ', quod sit *quam reliquerunt* Menelaus et Helena, isto etiam cum pravo accentu Matthiae, L. Dindorfius, Pflugkius repraesentarunt, etsi Matthiae in adnotatione posuit λίποντ'. Absurda est tertia persona, ne de ipso verbo dicam. Pflugkium, qui ἃ λίπετ' οἴκοις scribendum coniecit, vellemus et hic et alibi nec metra negligere neque antiquata Homerici aevi verba in tragicos inferre sibi licitum putavisse. Scripsi ἂν λιπέτην. Hanc secundae personae formam esse satis demonstravit Elmsleius ad Acharn. 733.

1497. Qui excidit versus, θάλλουσαν ἐν πατρῴοις fuisse putabat Musgravius. Quidni potius: θάλλουσαν ἐν θαλάμοις?

1498. Edd. vett. πρὸς γάμων: quod quum in Hervag. 2. scriptum esset πρὸς γάμ῀, non satis nitida compendii nota, in Basileensi scriptum est πρὸς γάμ', ex qua id propagatum in Canterianam, Commelinianam, et P. Stephani. Barnesius dedit πρὸ γάμων.

στροφὴ β'.

δι' ἀέρος εἴθε ποτανοὶ
γενοίμεθ' ὅθι στολάδες
οἰωνοὶ Λίβυες
ὄμβρον χειμέριον λιποῦ-
σαι νίσσονται πρεσβυτάτᾳ
σύριγγι πειθόμεναι
ποιμένος, ὃς ἄβροχα πεδία καρποφόρα τε γᾶς
ἐπιπετόμενος ἰακχεῖ.
ὦ πταναὶ δολιχαύχενες,
σύννομοι νεφέων δρόμου,
βᾶτε Πλειάδας ὑπὸ μέσας

1499. Libri: *δι' ἀέρος, εἰ ποτανοί.* Recte Barnesius edidit *εἴθε.*

1500. Edd. vetustissimae *γενοίμεθα.* A Cantero invectum *γενοίμεσθα.* Habent autem edd. haec sic scripta: *γενοίμεσθα Λίβυες οἰωνοὶ στοχάδες.* Ordo verborum idem in codd. sed in Par. E. G. Flor. 1. 2. Vict. est *στολάδες*, cui in Vict. superscriptum *χα.* Merito hoc probavit Musgravius. Sed et ordinem verborum mutandum et *ὅθι* inserendum esse et metrum et sententia monstrare poterant.

1502. Libri: *ὄμβρον λιποῦσαι χειμέριον.* Male Heathius et Musgravius *λείπουσαι*, quod deinde ab aliis receptum. Restituendus erat ordo verborum is, qui Glyconeos praeberet. Expressit Euripides Homerica Iliad. III. 3.

ἠΰτε περ κλαγγὴ γεράνων πέλει οὐρανόθι πρό,
αἵτ' ἐπεὶ οὖν χειμῶνα φύγον καὶ ἀθέσφατον ὄμβρον,
κλαγγῇ ταίγε πέτονται ἐπ' Ὠκεανοῖο ῥοάων.

1503. Edd. ante Canterum *νίσονται.*

1505. Trimetrum, qui in duos divisus erat versiculos, non animadvertens, corrupit Matthiae post *ὃς* inserto *τ'.* Sequuti eum sunt Dindorfii et Pflugkius.

1506. Libri *ἰαχεῖ.* Matthiae dedit *ἰακχεῖ.*

1507. Libri: *ὁπόταν αἱ δολιχαύχενες.* Stephanus hic, quippe certo assensuris lectoribus, non Mss. suos, sed coniecturam suam attulit *ὦ ποταναί.* Id scribendum erat *ὦ πταναί*, quod Canteri monitu fecit L. Dindorfius.

1509. Edd. antiquissimae et Flor. 2. Vict. *πελειάδες.* Flor. 1. *πελιάδες.* Herv. 2. atque inde aliae *πελειάδας*, quod tenuerunt

Ὠρίωνά τ' ἐννύχιον,
καρύξατ' ἀγγελίαν,
Εὐρώταν ἐφεζόμεναι,
Μενέλεως ὅτι Δαρδάνου
πόλιν ἑλὼν δόμον ἥξει.

ἀντιστροφὴ β'.

μόλοιτέ ποθ' ἵππιον ἅρμα
δι' αἰθέρος ἱέμενοι
παῖδες Τυνδαρίδαι,
λαμπρῶν οἵτ' ἄστρων ὑπ' ἀέλ-

---

etiam novissimi editores, etsi iam Stephanus, Mss. suos memorans, cum eoque Barnesius *Πλειάδας* scripserat, eaque forma nominis semper usum esse Euripidem Matthiae ipse adnotavit.

1512. Edd. vetustissimae *Εὐρώπαν*. Primo in Herv. 2. emendate *Εὐρώταν*, quod est etiam in Flor. 1. 2. Vict.

1513. Libri *Μενέλαος*. Scribendum esse *Μενέλεως* vidit Matthiae, nec tamen aut ipse aut qui post eum Helenam ediderunt recipere sunt ausi.

1515. Edd. *μόλοιτέ ποθ' ἵππειον ἅρμα*. Deest hic versus in Flor. 1. In Flor. 2. autem circumscriptis lineis inclusus, adscripto *περισσόν*. In eo codice pro *ἅρμα* est *οἶδμα*, sed in margine *γρ. ἅρμα*. Hinc coniiciat quis forsitan *οἶμα*, praesertim quum equis potius quam curru vectos fingi Tyndaridas videamus. Verum ea perantiqua et non tragici sermonis vox esse videtur. Quod Pindarus Isthm. I. 23. scripsit de Castore et Iolao: *κεῖνοι γὰρ ἡρώων διφρηλάται Λακεδαίμονι καὶ Θήβαις ἐτέκνωθεν κράτιστοι*, scholiastes, quod ad currum attineat, tantummodo propter Iolaum dixisse poetam monet. Sed Pyth. V. 11. legimus *ἕκατι χρυσαρμάτου Κάστορος*, ubi Castorem bigas invenisse narrant scholiastae. *Ἵππιον ἅρμα* scripsit Elmsleius ad Heracl. 845.

1517. Edd. vett. *Τυνδαρίδες*, opportunum cuidam viro docto, cui Aeacidae dicti *Αἰακίδες*. *Τυνδαρίδαι*, ut Scaligero auctore Barnesius scripsit, Vict. Flor. 1. 2. quorum in 2. supra scriptum *ες*.

1518. Libri: *λαμπρῶν ἄστρων ὑπ' ἀέλλαισιν, οἳ ναίετ' οὐράνιοι*. *Ἀέλλας* de motu siderum accipiendas esse observavit Musgravius. Novissimi editores interpunctionem sustulerunt, qua *ἀέλλαισιν* ad *μόλοιτε δι' αἰθέρος ἱέμενοι* referebatur: et sane magis poetica est oratio, si *ναίεσθαι ὑπ' ἀέλλαις ἄστρων* dicuntur.

λαισι ναίετ᾽ οὐράνιοι·
σωτῆρες εἶθ᾽ Ἑλένας
γλαυκὸν ὑπὲρ οἶδμα κυανόχροά τε κυμάτων
ῥόθια πολιὰ θαλάσσας,
ναύταις εὐαεῖς ἀνέμων
πέμποντες Διόθεν πνοάς·
δύςκλειαν δ᾽ ἀπὸ συγγόνου
βάλετε βαρβάρων λεχέων,
ἂν Ἰδαίων ἐρίδων
ποιναθεῖσ᾽ ἐκτήσατο, γᾶν
οὐκ ἐλθοῦσά ποτ᾽ Ἰλίου
Φοιβείους ἐπὶ πύργους.

Idque etiam metra postulant. Nam scribendum est, ut ex litteris ad se meis rettulit Matthiae, *λαμπρῶν οἵτ᾽ ἄστρων ὑπ᾽ ἀέλλαισι ναίετ᾽ οὐράνιοι.*

1520. Ald. *σωτῆρες τὰς Ἑλένας.* Non id correctum, ut Matthiae refert, iam in Brubachiana, sed, nisi in prima Hervagiana, quae mihi non ad manum erat, certe in altera. Musgravius metri caussa *σωτῆρε.* Displicere potius articulus debebat, ut significavi in praefatione Iphig. Aul. p. 17. verum nunc non, quod tum volebam, *ἔσθ᾽*, sed propter praecedentem optativum *εἶθ᾽* scripsi. Id nescientes scribae pro communi *εἴητε* dictum esse, articulum posuere.

1521. Libri: *γλαυκὸν ἐπ᾽ οἶδμ᾽ ἅλιον, κυανόχροά τε κυμάτων*, pessumdato a metricis trimetro, qui quum per errorem *ἐπ᾽ οἶδμα* pro *ὑπὲρ οἶδμα* scriptum esset, addiderant *ἅλιον.*

1525. Edd. *δύςκλειαν ἀπὸ συγγόνου.* Matthiae ex Flor. 1. 2. *δ᾽* inseruit.

1526. Flor. 1. et edd. inde ab Hervag. 2. *βάλλετε*, citatque sic Elmsleius ad Med. 212. Sed Ald. Brub. Flor. 2. *βάλετε.*

1528. Libri *πονηθεῖσ᾽*, quod servarunt novissimi editores, ut ne mentionem quidem fecerint Scaligeri corrigentis *ποινηθεῖσ᾽.* Usus est hoc verbo Euripides in Iph. Taur. 1433. Sed scribendum erat *ποιναθεῖσ᾽.* Deinde libri: *ἐκτήσατο τὰν οὐκ ἐλθοῦσαν Ἰλίου Φοιβείους ἐπὶ πύργους.* Nulla fides Stephano in Mss. suis *ταῖς ἐλθούσαις* esse dicenti. Recte Musgravius *τὰν* in *γᾶν* mutandum vidit. Incredibiles doctorum coniecturas pudet commemorare, ubi quid scripsisset poeta vel caecus videre poterat.

ΑΓΓΕΛΟΣ.

ἄναξ, τὰ μάκιστ᾽ ἐν δόμοις σ᾽ εὑρήκαμεν·
ὡς καίν᾽ ἀκούσει πήματ᾽ ἐξ ἐμοῦ τάχα.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

τί δ᾽ ἔστιν;

ΑΓΓΕΛΟΣ.

ἄλλης ἐκπόνει μνηστεύματα
γυναικός· Ἑλένη γὰρ βέβηκ᾽ ἔξω χθονός.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

πτεροῖσιν ἀρθεῖσ᾽ ἢ πεδοστιβεῖ ποδί;

ΑΓΓΕΛΟΣ.

Μενέλαος αὐτὴν ἐκπεπόρθμευται χθονός,
ὃς αὐτὸς αὐτὸν ἦλθεν ἀγγέλλων θανεῖν.

1531. Libri: *ἄναξ, τὰ κάκιστ᾽ ἐν δόμοις εὑρήκαμεν.* Barnesius ex Duporti coniectura dedit *τὰ χείριστ᾽*, etsi id ei non satisfaciebat. Proxime verum accessit Piersonus, qui scribendum putabat: *τὰ κάλλιστ᾽ ἐν δόμοις σ᾽ εὑρήκαμεν*, comparans Iphig. Aul. 1106.

Λήδας γένεθλον, ἐν καλῷ σ᾽ ἔξω δόμων
εὕρηχ᾽, ἵν᾽ εἴπω παρθένου χωρὶς λόγους.

Quem locum adversari Piersoni sententiae ratus Matthiae, quod ibi *ἔξω δόμων*, hic *ἐν δόμοις* dictum sit, nec cogitans *ἐν δόμοις* non necessario intus in domo, sed etiam domi, quod est non perlonge a domo significare, in qua praepositionis potestate declaranda insuperabilem laboriositatem ostendit Spohnius ad Nicephorum Blemmidam p. 26. seqq., ex sua coniectura edidit: *κάκιστα τἀν δόμοις εὑρήκαμεν*: quae etsi alienissima est, tamen est in novissimas editiones recepta. Quomodo enim in domo invenerit mala, eaque exeunti e domo regi nunciare potest is, qui a portu venit? Nihil enim proficitur eo, quod *τἀν δόμοις* res domesticas, i. e. matrimonium cum Helena ineundum significare vult Matthiae: obstat enim *εὑρήκαμεν*, ineptum verbum, ubi *ἀγγέλλομεν* erat dicendum. Scribendum erat *τὰ μάκιστ᾽ ἐν δόμοις σ᾽ εὑρήκαμεν.* Id est *postremo tandem*, ut apud Homerum Odyss. V. 299. 465. *τί νύ μοι μήκιστα γένηται;* Dicunt autem tragici etiam in iambis *μάκιστος*, ut Aeschylus in Orithyia apud Longinum c. 3.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ὦ δεινὰ λέξας· τίς δέ νιν ναυκληρία
ἐκ τῆςδ' ἀπῆρε χθονός; ἄπιστα γὰρ λέγεις.

ΑΓΓΕΛΟΣ.

ἣν γε ξένῳ δίδως σύ, τούς τε σοὺς ἔχων
ναύτας βέβηκεν, ὡς ἂν ἐν βραχεῖ μάθῃς.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

πῶς; εἰδέναι πρόθυμος· οὐ γὰρ ἐλπίδων
εἴσω βέβηκα μίαν ὑπερδραμεῖν χέρα
τοσούςδε ναύτας, ὧν ἀπεστάλης μέτα.

ΑΓΓΕΛΟΣ.

ἐπεὶ λιποῦσα τούςδε βασιλείους δόμους
ἡ τοῦ Διὸς παῖς πρὸς θάλασσαν ἐστάλη,
σοφώταθ' ἁβρὸν πόδα τιθεῖσ', ἀνέστενεν
πόσιν πέλας παρόντα κοὐ τεθνηκότα.
ὡς δ' ἤλθομεν σῶν περίβολον νεωρίων,
Σιδωνίαν ναῦν πρωτόπλουν καθείλκομεν
ζυγῶν τε πεντήκοντα κἀρετμῶν μέτρα
ἔχουσαν· ἔργου δ' ἔργον ἐξημείβετο·
ὁ μὲν γὰρ ἱστόν, ὃ δὲ πλάτην καθίστατο,
ταρσόν τε χειρί· λευκά θ' ἱστί' εἰς ἓν ἦν,

1538. Flor. 1. ναυκληρίαν.

1540. Defendi potest, quod in libris est ἣν γε ξένῳ δίδως σύ, id ut sit *haec ipsa*; sed tamen mallem legeretur ἥδ', ἣν δίδως σύ, vel ἥνπερ δίδως σύ.

1551. Edd. vett. καὶ 'ρετμῶν μέτα. Quod Reiskius reponendum vidit, μέτρα, praebuerunt Par. E. Flor. 1. 2.

1553. Edd. vett. et Flor. 1. 2. scripturam καθίσατο, quam Barnesius in καθίστατο mutavit, defendat quis forsitan auctoritate Hesychii, qui καθίσατο interpretatur ἱδρύσατο. Formam hanc iustam esse hodie constat. Sed non est huic loco aoristus accommodatus.

1554. Libri: ταρσόν τε χειρί· λευκά θ' ἱστί' εἰς ἓν ἦν.

πηδάλιά τε ζεύγλαισι παρακαθίετο.
κἀν τῷδε μόχθῳ, τοῦτ' ἄρα σκοπούμενοι,
Ἕλληνες ἄνδρες Μενέλεῳ ξυνέμποροι
προςῆλθον ἀκταῖς, ναυφθόροις ἠσθημένοι
πέπλοισιν, εὐειδεῖς μέν, αὐχμηροὶ δ' ὁρᾶν.

Matthiae offendebat in pleonasmo *πλάτην ταρσόν τε.* Musgravius coniiciebat *ταρσόν τ' ἐπεῖρα.* Ad id vero vix otium erat strenue imperata agentibus, parumque exercitati fuissent isti homines, si iis experiundum fuisset rectene aptassent remos. Ego quidem nihil mutandum duxi. Significat quidem *ταρσὸς* palmam remi, ut idem sit quod *πλάτη*, sed dicitur etiam de ordine remorum. Nec *χειρὶ* interpreter *manu*, sed *manui*, ut remos eo modo ad paxillos alligasse dicantur, quo apte prehendi moverique possent: quam rem propriis vocabulis dixit Aeschylus in Persis v. 376. *κώπην τροποῦσθαι σκαλμὸν ἀμφ' εὐήρετμον.* Postrema versus verba, *εἰς ἓν ἦν*, desperata a criticis, Seidlerus ita corrigenda putabat, *οἷς ἐνῆν*, Hesychii afferens testimonium, *ἐνῆν, ἐχρῆν*, quo mihi quidem non satis communiri haec verbi potestas videtur. Eo magis autem abstinendum a mutatione censui, quod, nisi fallor, recte se habet librorum scriptura. Dixerat nuncius quid hic, quid ille fecisset: nunc mutata describendi ratione res memorat, quid iis factum sit dicens, vela, gubernacula. Accedit quod *εἰς ἓν* familiaris Euripidi locutio est, qua et supra usus est v. 759. et Orest. 1640. Phoen. 465. Androm. 1173. Iph. Aul. 1127. Iph. Taur. 1016. Troad. 1155. Heracl. 404. Ion. 1016. Herc. fur. 489. Archelai fr. 20, (14) 2. Non est autem de consuendis velis, quod nescio quo pacto Musgravius istis verbis significari putabat, sermo, sed referendum *λευκά θ' ἱστί' εἰς ἓν ἦν* ad ea, quae modo de remis dicebantur. *Alius*, inquit, *remos remigiumque constituebat manui, in unumque coniuncta cum his vela erant:* i. e. dum alii remos aptabant, idem fiebat velis.

1555. Apte comparavit Musgravius Orphei Argonaut. 277.

ἔπι δ' αὖτ' οἴηκας ἔδησαν,
πρυμνόθεν ἀρτήσαντες, ἐπεσφίγξαντο δ' ἱμᾶσιν.

et Act. Apostol. XXVII. 40. ubi qui navigaturi sunt, sublatis ancoris *ἅμα ἀνέντες τὰς ζευκτηρίας τῶν πηδαλίων* vela dare dicuntur.

1558. Edd. vett. *ναυφόροις.* Flor. 1. 2. Vict. *ναυφθόροις*, uti Brodaeus, Canterus, Scaliger correxerant. Porsonum, qui teste Blomfieldio in glossario Persarum ad v. 187. pro *ἠσθημένοι* scribebat *ἠσκημένοι*, refutavit Matthiae, *ἐσθῶ* verbum ex Etym. M. p. 382, 52. afferens, quasi non Herodotus aliique complures *ἠσθημένος* dixissent.

ἰδὼν δέ νιν παρόντας Ἀτρέως γόνος,
προςεῖπε, δόλιον οἶκτον εἰς μέσον φέρων,
ὦ τλήμονες, πῶς ἐκ τίνος νεώς ποτε
Ἀχαΐδος θραύσαντες ἥκετε σκάφος;
ἆρ' Ἀτρέως παῖδ' ὀλόμενον συνθάπτετε,
ὃν Τυνδαρὶς παῖς ἥδ' ἀπόντα κενοταφεῖ;
οἳ δ', ἐκβαλόντες δάκρυα ποιητῷ τρόπῳ,
εἰς ναῦν ἐχώρουν, Μενέλεῳ ποντίσματα
φέροντες. ἡμῖν δ' ἦν μὲν ἥδ' ὑποψία
λόγος τ' ἐν ἀλλήλοισι, τῶν ἐπειςβατῶν
ὡς πλῆθος εἴη· διεσιωπῶμεν δ' ὅμως,

1561. Flor. 1. οἰκτρόν.

1563. Edd. vett. Ἀχαιΐδος.

1564. Edd. vett. Flor. 1. 2. ἆρ' Ἀτρέως παῖδ' ὀλούμενον συνθάπτετε. Stephanus, ut ex Mss. suis, ὀλόμενον, quod reposuit Canterus. Συνθάπτετε Musgravius eleganter pro συνθάψετε dictum iudicavit. Necessario hic praesente utendum erat. Non enim quaerit Menelaus velintne secum iusta facere mortuo, nec iubet eos id facere: sed, quasi credat eos comperisse quid agatur, quaerit: *qua navi confracta huc venistis? num Menelaum sepelientibus nobis adestis socii?*

1565. Edd. vetustissimae ἄκοντα. Herv. 2. Cant. pravo accentu ἄποντα. Brodaeus, Stephanus, Flor. 1. 2. ἀπόντα.

1566. Edd. vett. οἵδ'.

1567. Ante Barnesium legebatur: εἰς ναῦν ἐχώρουν Μενέλεω, ποντίσματα φέροντες.

1568. Libri: ἡμῖν δ' ἦν μὲν ἥδ' ὑποψία, λόγος δ' ἐν ἀλλήλοισι, τῶν ἐπειςβατῶν ὡς πλῆθος εἴη. Heathius, non perspecta insolentiore attractione, qua ἥδ' ὑποψία pro τούτων ὑποψία dictum est, inaudita crasi ἤδη ὑποψία scribi volebat. Si corruptum esset ἥδ', erat id potius in οὐχ mutandum, ut diceret nuncius, suspectum id quidem non fuisse, sed tamen aegre eos tulisse tantam multitudinem vectorum. Non est tamen verisimile sic loqui nuncium, ut qui sic et se et socios suos socordiae accusaret, poenamque metuere deberet. Quare recte L. Dindorfius λόγος τ' edidit. Comparari potest in Iphig. Taur. 1334.

καὶ τάδ' ἦν ὕποπτα μέν,
ἤρεσκε μέντοι σοῖσι προςπόλοις, ἄναξ.

1570. Edd. vett. διεσκοπῶμεν, cui verbo in Brub. stellula praefixa est, non lacunae signum, ut putabat Matthiae, sed ut

τοὺς σοὺς λόγους σῴζοντες· ἄρχειν γὰρ νεὼς
ξένον κελεύσας πάντα συνέχεας τάδε.
καὶ τἄλλα μὲν δὴ ῥᾳδίως εἴσω νεὼς
ἐθέμεθα κουφίζοντα· ταύρειος δὲ ποὺς
οὐκ ἤθελ' ὀρθὸς σανίδα προςβῆναι κάτα,
ἀλλ' ἐξεβρυχᾶτ' ὄμμ' ἀναστρέφων κύκλῳ,
κυρτῶν τε νῶτα κεἰς κέρας παρεμβλέπων
μὴ θιγγάνειν ἀπεῖργεν. ὁ δ' Ἑλένης πόσις
ἐκάλεσεν, ὦ πέρσαντες Ἰλίου πόλιν,
οὐκ εἶ' ἀναρπάσαντες Ἑλλήνων νόμῳ
νεανίαις ὤμοισι ταύρειον δέμας
εἰς πρῷραν ἐμβαλεῖτε, (φασγάνῳ θ' ἅμα

---

de vitio lector admoneretur. Quod Stephanus in Mss. esse dixit, recepitque Canterus, διεσιωπῶμεν, confirmarunt Flor. 1. 2. Vict.

1573. Edd. vett. Flor. 1. 2. καὶ ταῦτα μὲν δή. Stephanus, ut ex Mss., καὶ πάντα μὲν δή. Recte Canterus correxit καὶ τἄλλα μὲν δή, quod recepit Barnesius.

1574. Edd. ἐθέμεσθα. Flor. 1. ἐθέμεθα. Ad κουφίζοντα Heathius adhibuit Hesiodi versum in O. et D. 463. de quo dixi in censura editionis Göttlingii in Opusc. vol. VI.

1577. Edd. vett. παρ' ἐμβλέπων. Brodaei monitu Barnesius, ut Vict. et fortasse Florentini, παρεμβλέπων. Descriptionem illustravit Elmsleius ad Bacch. 742.

1580. Edd. vett. οὔκουν ἀναρπάσαντες. Flor. 1. οὐκ ἦν. Par. E. G. Flor. 2. Vict. οὐκ εἶ', superscripto in Florentino οὔκουν, in Vict. οὖν.

1582. Libri: εἰς πρῶραν ἐμβαλεῖτε; φάσγανόν θ' ἅμα πρόχειρον ὥσει σφάγια τῷ τεθνηκότι; Musgravius, perperam, iudice Ruhnkenio in Epist. crit. I. p. 100. (154. ed. noviss.) coniiciebat: ἐς πρῶραν ἐμβαλεῖτε, (φάσγανόν θ' ἅμα πρόχειρον ὡρεῖ) σφάγια τῷ τεθνηκότι: ut, quae parenthesis contineret, non Menelai, sed nuncii verba essent; credo quod recordaretur illud in Electra v. 695.

φρουρήσω δ' ἐγώ,
πρόχειρον ἔγχος χειρὶ βαστάζουσ' ἐμῇ.

Matthiae, assentiens Ruhnkenio, nihil nisi signum interrogandi post ἐμβαλεῖτε in virgulam mutavit, non dicens, quam putaret sententiam verborum esse. Qui alteram virgulam cum Schaefero post ὥσει addidit, L. Dindorfius, saltem ut intelligi verba possent effecit, sed

πρόχειρος ὤθει) σφάγια τῷ τεθνηκότι;
οἱ δ' εἰς κέλευσμ' ἐλθόντες ἐξανήρπασαν
ταῦρον, φέροντές τ' εἰς ἔθεντο σέλματα.
μονάμπυκον δὲ Μενέλεως ψήχων δέρην

Schaeferus reliquerat signum interrogandi post ἐμβαλεῖτε, non recte, quum aperte σφάγια τῷ τεθνηκότι adiectum sit ad ταύρειον δέμας. Non laudaverim ego quidem coniecturam Musgravii, sed tamen in universum recte eum iudicasse video. Nam qui humeris sublatum auferri in navem iubet taurum, insanus esset, si eum simul gladiis propelli vellet: saucius enim multo ferocius resisteret. Neque vero trudi gladiis potest, sed pungitur. Quis autem victimam, quam integram atque illaesam mactari oportebat, compunctam ferro laniatamque vulneribus ausus esset diis immolare? Quod nisi egregie fallor, scripsit Euripides ex nuncii persona: φασγάνῳ θ' ἅμα πρόχειρος ὤθει. Menelaus ipse propellebat taurum, idque stricto ense, in speciem parati ad defendendum ab se taurum, re vera autem quo paratior aggrederetur Aegyptios.

1584. Edd. vett. οἶδ'. Non intellexit Pflugkius quid esset εἰς κέλευσμ' ἐλθόντες, quum id κελευσθέντες interpretatur, quam phrasin non perinde cognitam esse ait atque illam, quae sit ἔρχεσθαι διά τινος, cuius simillima sit. Immo dissimillimam esse vidisset, si cogitasset, quid faciendum esset taurum in humeros sublaturis. Nempe acclamare sibi simul omnes oportet, ut cuncti simul prehendant pecudem, quo ne, si alius post alium manus iniiciat, singuli prosternantur. Id Graece dicitur ἐκ κελεύσματος, cerniturque potissimum in remigantibus, qui nisi cuncti simul remos eodem modo moveant, impediant magis cursum navis quam adiuvent. Aeschylus in Persis v. 396.

εὐθὺς δὲ κώπης ῥοθιάδος ξυνεμβολῇ
ἔπαισαν ἅλμην βρύχιον ἐκ κελεύσματος.

Et Euripides Iphig. Taur. 1405.

1585. Edd. φέροντές τ' εἰςέθεντο σέλματα. Flor. 1. 2. Vict. φέροντες δ'. Facile verba neutralia cum accusativo loci, in quem quid sese infert, coniunguntur, ut εἰςπίπτειν, ἐςθορεῖν, non item quae activa potestate etiam alterum accusativum additum habent. Quare hoc, sicuti pronunciatum esse puto, divisim εἰς ἔθεντο scripsi.

1586. Permira est Pflugkii interpretatio: *vix quamvis unius vittis evinctum tauri collum frontemque permulcendo obtinuit Menelaus, ut in navi consisteret.* Ubinam istud *vix* in Graecis est? ubinam *quamvis unius?* quo profecto nihil ineptius dixisset Euripides. Nam quis tandem homo cum grege taurorum congrediatur? quasi non vel unum mitigare difficillimum sit. Denique quid id ad Menelaum, qui praeter illum unum non habebat alios quos domare posset? Unde vero etiam vittae? Funem iste tauros

μέτωπά τ᾽ ἐξέπεισεν εἰςβῆναι δόρυ.
τέλος δ᾽ ἐπειδὴ ναῦς τὰ πάντ᾽ ἐδέξατο,
πλήσασα κλιμακτῆρας εὐσφύρου ποδὸς
Ἑλένη καθέζετ᾽ ἐν μέσοις ἑδωλίοις,
ὅ τ᾽ οὐκέτ᾽ ὢν λόγοισι Μενέλεως πέλας·
ἄλλοι δὲ τοίχους δεξιοὺς λαιούς τ᾽ ἴσοι
ἀνὴρ παρ᾽ ἄνδρ᾽ ἕζονθ᾽, ὑφ᾽ εἵμασι ξίφη
λαθραῖ᾽ ἔχοντες, ῥόθιά τ᾽ ἐξεπίμπλατο
βοῆς, κελευστοῦ φθέγμαθ᾽ ὡς ἠκούσαμεν.
ἐπεὶ δὲ γαίας ἦμεν οὔτ᾽ ἄγαν πρόσω
οὔτ᾽ ἐγγύς, οὕτως ἤρετ᾽ οἰάκων φύλαξ·
ἔτ᾽, ὦ ξέν᾽, εἰς τὸ πρόσθεν, ἢ καλῶς ἔχει,
πλεύσωμεν; ἀρχαὶ γὰρ νεὼς μέλουσι σοί.
ὁ δ᾽ εἶφ᾽, ἅλις μοι· δεξιᾷ δ᾽ ἑλὼν ξίφος

---

circum cornua religatum habebat, quo duceretur: ex quo dictus est μονάμπυκος. Neque enim Graecorum tauri mansuetiores nostris fuere. Sed obliviscuntur homines docti, quum inter libros sedent, quae suis quotidie oculis vident. Iuvisset hic consuluisse Brodaeum, qui *uno vinculo ligatam cervicem* interpretatus erat.

1589. Edd. antiquissimae κλιμαντῆρας cum Flor. 1. 2. Sed in Herv. 2. restitutum κλιμακτῆρας. Πλήσασα explicatum esse dicunt a Porsono ad Orest. 54. At non satis accurate ille id spatium aliquem explere dici censuit, cuius varias partes oberraret: immo, quod quis totum pervadit.

1590. Flor. 1. 2. ἑδωλίων, superscripto tamen οις.

1593. Edd. vett. ἕζοντο, ὑφ᾽, quod correxit Barnesius.

1594. Flor. 1. 2. edd. vett. ὄρθριά τ᾽. Brodaeus ὄρθιά τ᾽, quod receptum, usque dum Piersonus in Verisim. p. 186. scribi iussit ῥόθιά τ᾽ ἐξεπίμπλατο βοῆς.

1595. Hoc quoque ibidem correxit Piersonus, quum in libris ita legeretur: ὄρθριά τ᾽ ἐξεπίμπλατο βοῆς κελεύθου φθέγμαθ᾽, ὡς ἠκούσαμεν. Praeter alia, quae ille confirmandae emendationi suae attulit, aptissima sunt haec Longi verba III. 21. εἷς μὲν αὐτοῖς κελευστὴς ναυτικὰς ᾖδεν ᾠδάς, οἱ δὲ λοιποὶ καθάπερ χορὸς ὁμοφώνως κατὰ καιρὸν τῆς ἐκείνου φωνῆς ἐβόων.

1599. Libri: ἀρχαὶ γὰρ νεὼς μέλουσί μοι. Elmsleius ad Iphig. Taur. 199. σοι scribi iussit, quod reposuit Matthiae.

1600. Edd. ante Barnesium: ὁ δ᾽ εἶπεν.

εἰς πρῷραν εἷρπε, κἀπὶ ταυρείῳ σφαγῇ
σταθεὶς νεκρῶν μὲν οὐδενὸς μνήμην ἔχων,
τέμνων δὲ λαιμὸν εὔχετ', ὦ ναίων ἅλα
πόντιε Πόσειδον Νηρέως θ' ἁγναὶ κόραι,
σώσατέ μ' ἐπ' ἀκτὰς Ναυπλίας δάμαρτά τε
ἄσυλον ἐκ γῆς. αἵματος δ' ἀποῤῥοαὶ
ἐς οἶδμ' ἐςηκόντιζον οὔριαι ξένῳ.
καί τις τότ' εἶπε· δόλιος ἡ ναυκληρία·
πάλιν πλέωμεν, ἀξιῶ· 'γκέλευε σύ·
σὺ δὲ στρέφ' οἴακ'. ἐκ δὲ ταυρείου φόνου
'Ατρέως σταθεὶς παῖς ἀνεβόησε συμμάχους·

1603. Edd. vett. Flor. 1. 2. *δαίμον'*. Stephanus ut ex Mss. *λαιμὸν*, quod restituit Canterus.

1607. Tenuerunt novissimi editores librorum scripturam *οὔρια*, quae defendi quidem potest, sed tamen ut deterior videatur, quam *οὔριοι*, quod ab Elmsleio ad Heracl. 822. et ad Med. 43. not. *x*. positum L. Dindorfius recepit. Mihi et facilius et hic quidem, post nomen aliquot interiectis verbis posito adiectivo, aptius videbatur *οὔριαι*. Vide ad v. 1631. *'Ες* hic Ald.

1608. Libri: *καί τις τόδ' εἶπε*, et hic et in Herc. fur. 951. ad quem locum utrubique *τότ'* esse scribendum recte iudicavit Elmsleius.

1609. Libri: *πάλιν πλέωμεν Ναξίαν; κέλευε σύ*, nisi quod Par. G. *ἀξίαν*, sed superscripto *ναξίαν*. Quae viri docti tentarunt pleraque sileri satius est. Bothius haud dubie verum se repperisse ratus edidit: *πάλιν πλέωμεν. ἄξιον. κέλευε σύ.* Pflugkius coniecit *ἐξανεὶς*, scilicet *κάλως*, coniungens, ut videtur, cum *κέλευε σύ*, in eamque rem citavit Schaeferum ad Lamb. Bos. p. 520. ubi frustra quaeras aliquid, quod ad hanc rem pertineat, et sese ad Medeae v. 278. ubi eum videas diversissima confudisse. Nam *πάντα κάλων ἀνιέναι* quid esset, ex scholio apud Morellium ad Dion. Chrysost. Or. IV. p. 165. ed. Reisk. quem locum affert, cognoscere poterat. Qui enim idem sit *ἐξιέναι* vel *ἐκτείνειν πάντα κάλων* et, quod contrarium est, *ἀνιέναι*, cui par est *ἐξανιέναι*? Et quis *ἐξανιέναι* sic nude dixit? Non adeo difficile erat aliquid probabilius invenire: *πάλιν πλέωμεν, ἀξιῶ· 'γκέλευε σύ.* Erat haec singularis ars Euripidis, ut scite mores atque ingenia hominum exprimeret. Ac solent in tali caussa fere omnes velle quidem aliquid agi, sed nemo primus rem aggredi. Itaque timidius quid faciendum censeat dicentem introducit, poscentemque ab alio, is ut det signum. Nam hoc est *ἐγκελεύειν*.

τί μέλλετ᾽, ὦ γῆς Ἑλλάδος λωτίσματα,
σφάζειν, φονεύειν βαρβάρους, νεώς τ᾽ ἄπο
ῥίπτειν ἐς οἶδμα; ναυβάταις δὲ τοῖσι σοῖς
βοᾷ κελευστὴς τὴν ἐναντίαν ὄπα·
οὐκ εἶ᾽ ὃ μέν τις λοῖσθον ἀρεῖται δόρυ,
ὃ δὲ ζυγ᾽ ἄξας, ὃ δ᾽ ἀφελὼν σκαλμοῦ πλάτην,
καθαιματώσει κρᾶτα πολεμίων ξένων;
ὀρθοὶ δ᾽ ἀνῇξαν πάντες, οἱ μὲν ἐν χεροῖν
κορμοὺς ἔχοντες ναυτικούς, οἱ δὲ ξίφη.
φόνῳ δὲ ναῦς ἐῤῥεῖτο· παρακέλευσμα δ᾽ ἦν

1612. Hesychius: λώτισμα (nescio an λωτίσματα ex hoc ipso Euripidis versu posuerit), οἱ πρῶτοι καὶ ἐπίλεκτοι.

1614. Edd. vett. ναυάταις.

1616. Edd. οὔκουν ὁ μέν τις. Par. E. Flor. 2. οὐκ εἶ᾽ ὁ μέν τις. In Flor. 2. additum: γρ. οὔ | κουν ἤ μέ τις, quod ipsum in Flor. 1. esse ait Matthiae. Λοῖσθος non invenitur apud tragicos, nisi apud Sophoclem in Oed. Col. 583. ubi fluctuat scriptura, et in Philoctetae ad Troiam fr. 1. Deinde libri αἱρεῖται, quod in ἀρεῖται mutatum ab Elmsleio ad Heracl. 323. et ad Med. 481. not. *b*. Nimia vero mira narrat Pflugkius, qui λοῖσθον δόρυ contos intelligi iubet, quos extrema sui parte corripi iubeat portisculus, quo gravior plaga deorsum feratur. Ne commemorem, quod isto significatu λοῖσθον dici ostendere debebat, quis tandem, qui in magno periculo quodvis telum corripi iubet, qua ratione eo utendum sit praecipiat? Immo ultimam, si quae forte relicta sit, hastam ille rapi iubet; quod si hastae nullae supersint, transtra confringi remosque paxillis exsolvi vult.

1620. Quos κορμοὺς ναυτικοὺς vocat, hi vero conti sunt: Homero ξυστὰ ναύμαχα Iliad. XV. 389. 677. Plutarcho in vita Marcelli c. 12. δόρατα τῶν ναυμάχων μεγάλα.

1621. Libri: φόνῳ δὲ ναῦς ἐῤῥεῖτο· παρακέλευσμα δ᾽ ἦν. Elmsleius in meae Supplicum editionis censura ad v. 303. XXXI. correxit: φόνῳ δὲ ναῦς ἔῤῥει· τὸ παρακέλευσμα δ᾽ ἦν, comparans Iphig. Taur. 320.

οὗ δὴ τὸ δεινὸν παρακέλευσμ᾽ ἠκούσαμεν.

Quod recepit Pflugkius. L. Dindorfius autem, nescio quomodo molestum in Elmsleii emendatione articulum esse nec defendi Iphigeniae loco, quod ibi δεινὸν additum sit, censens, hanc edidit valde languidam scripturam: φόνῳ δὲ ναῦς ἔῤῥει τότ᾽ ἄρα· ᾽κέλευσμα δ᾽ ἦν. Non animadverterat in Elmsleii lectione hoc dici:

πρύμνηθεν Ἑλένης· ποῦ τὸ Τρωϊκὸν κλέος;
δείξατε πρὸς ἄνδρας βαρβάρους· σπουδῆς δ' ὕπο
ἔπιπτον, οἱ δ' ὠρθοῦντο, τοὺς δὲ κειμένους
νεκρούς τ' ἂν εἶδες. Μενέλεως δ' ἔχων ὅπλα,
ὅποι νοσοῖεν ξύμμαχοι κατασκοπῶν,

---

quae vox ad dimicandum adhortaretur, in puppi stantis Helenae erat. Matthiae, etsi ῥέομαι barbarum vocavit, reliquit veterem scripturam, quam Musgravius ex Luciano et Philone Iudaeo adstruxerat. Lucianum et Plutarchum ita loquutos esse exemplis ostendit C. Iacobitz ad Cataplum c. 3. p. 8. Sic etiam Dionysius Hal. Antiq. IV. 38. p. 738. aliique recentiorum, memoratque ἐῤῥεῖτο ut Atticam formam, quum Iones ἐῤῥέετο dixerint, Phrynichus p. 220. Neque vero hic passivi usus non est ab antiquioribus acceptus. Certe ἱδρῶτι ῥεούμενον est in oraculo apud Herodotum VII. 140. Formae isti defendendae Buttmannus in gramm. Gr. II. p. 114. admovit μαχεούμενον, corruptam putans esse scripturam, quae est apud Clementem ῥεεύμενον. Dubitari tamen potest, an fuerit ἐῤῥευμένον. Non igitur barbare scripsit Euripides, si scripsit ἐῤῥεῖτο.

1622. Intelligi sane potest, nec sat gravis caussa est cur improbetur, quod scriptum est in libris: *ποῦ τὸ Τρωϊκὸν κλέος; δείξατε πρὸς ἄνδρας βαρβάρους:* sed tamen, si tam brevis esse vellet Helena, hoc potius exspectaremus: *ποῦ τὸ Τρωϊκὸν κλέος δείκνυτε πρὸς ἄνδρας βαρβάρους;* de quo genere loquendi videndus Elmsleius ad Heracl. 371. Nunc, quum *δείξατε* scriptum videam, vereor ne exciderit aliquid. Quanto enim fortius sic loqueretur: *ποῦ τὸ Τρωϊκὸν κλέος; Ἕλληνες ὄντες καὶ Φρυγῶν πορθήτορες δείξατε πρὸς ἄνδρας βαρβάρους.*

1624. Ald. Brub. *τοὺς δὲ κειμένους, νεκροὺς ἂν εἶδες:* quod esset, *qui autem iacebant, mortuos videres.* Ex Herv. 2. in alias propagatum est *τούςδε κειμένους νεκροὺς ἂν εἶδες.* Barnesius revocavit *τοὺς δὲ.* Et recte sane dici potuit, *alios mortuos iacentes videres.* Sed tam inutile et languidum est istud *κειμένους*, ut non dubitaverim *νεκρούς τ'* exhibere. Nam *κείμενοι* sunt prostrati vulneribus, necdum mortui: qui sunt alii, quam de quibus modo dictum erat *σπουδῆς ὕπο ἔπιπτον:* hi enim non per hostes, sed quod prae festinatione ruerent, vel inter sese collisi vel offendentes ad ea quae in navi obstarent, prolabebantur.

1626. Libri *ὅποι.* Elmsleius ad Iph. Taur. 110. *ὅπῃ*, quod receperunt Dindorfii et Pflugkius. Ego quidem recte se habere puto *ὅποι*, quod est *ἐκεῖσε ὅπου*, *ad ea loca convertebat oculos, ubi suos laborare animadverteret.* De differentia istarum formarum dictum ad Hecubae v. 1028.

ταύτῃ προσῆγε χειρὶ βαρβάροις ξίφος,
ὥστ' ἐκκολυμβᾶν ναός· ἠρήμωσε δὲ
σῶν ναυβατῶν ἐρετμ'. ἐπ' οἰάκων δὲ βὰς
ἀλλὰξ ἐς Ἑλλάδ' εἶπεν εὐθύνειν δόρυ.
οἱ δ' ἱστὸν ᾖρον, οὔριοι δ' ἧκον πνοαί,

1627. Libri: ταύτῃ προσῆγε χειρὶ δεξιᾷ ξίφος, ὥστ' ἐκκολυμβᾶν ναός. Acquiescant his, atque acquieverunt, quibus satis est intelligi verba posse: ego non credam sic scripsisse Euripidem. Nam et nimis nude positum est illud, ὥστ' ἐκκολυμβᾶν ναός, quod per grammaticam rationem, quo non potest, vel ad ipsum Menelaum vel ad socios eius Graecos referendum esset, et, quod peius etiam est, χειρὶ δεξιᾷ tam languide dictum est, ut, quum utroque vocabulo facile careamus, alterum utrum certe omnino eiiciendum sit, si orationem talem esse volumus, qualem a poeta non plane imperito profectam existimare possimus. Utrique me perversitati medelam adhibuisse puto, quum βαρβάροις posui pro δεξιᾷ, quod vel scripsisse videtur aliud agens librarius, cui obversaretur δεξιᾷ δ' ἑλὼν ξίφος v. 1600., vel inseruisse emendator, quum βαρβάροις excidisset. Barbari apud tragicos se ipsi βαρβάρους vocare solent.

1630. Libri: ἐπ' οἰάκων δὲ βὰς ἄναξ, εἰς Ἑλλάδ' εἶπεν εὐθύνειν δόρυ. Barnesius ἐς. Sed nemo ad ineptissimum istud ἄναξ offendit. Quid opus erat nomine, quo Menelaus designaretur, ubi non poterat de quoquam alio cogitari? quid autem nuncio in mentem venit, cui solus Theoclymenus ἄναξ est, ut Menelaum isto nomine appellaret, quem nullo modo poterat ἄνακτα vocare, nisi saltem ναὸς adiiceret? Id scribendum fuit ἀλλάξ. Hesychius: ἀλλάξ, ἐνηλλαγμένως. Ideo dixit Euripides ἐπ' οἰάκων βάς. Nam gubernator, ut ex v. 1609. intelligitur, retro verterat navem, Aegyptum repetiturus.

1631. Legebatur οὔριαι δ' ἧκον πνοαί. Dicitur feminino genere et οὔριος et οὐρία. Hic quidem scribendum duxi οὔριοι, sicuti οὔριοι πνοαὶ in Hecuba v. 900. et Troadibus v. 882. legitur, etsi supra v. 1607. οὔριαι ad ἀποῤῥοαὶ adiectum praetuli. In formarum electione subtili elegantiae sensu ducuntur poetae, modo soni diversitate verba similiter cadentia vitantes, ut quum prope coniuncta sunt talia, qualia οὔριαι πνόαί, modo quod generis in forma diversitas gravior videtur, ut in Philocteta v. 355.

κἀγὼ πικρὸν Σίγειον οὐρίῳ πλάτῃ
κατηγόμην·

alibi autem servantes propriam generis formam, si longius remota ab nomine, praesertim postposita est, ut supra v. 1607., vel si

βεβᾶσι δ' ἐκ γῆς· διαφυγὼν δ' ἐγὼ φόνον
καθῆκ' ἐμαυτὸν εἰς ἅλ' ἄγκυραν πάρα.
ἤδη δὲ κάμνονθ' ὁρμιὰν τείνων μέ τις
ἀνείλετ', εἰς δὲ γαῖαν ἐξέβησέ σοι
τάδ' ἀγγελοῦντα. σώφρονος δ' ἀπιστίας
οὐκ ἔστιν οὐδὲν χρησιμώτερον βροτοῖς.

ΧΟΡΟΣ.

οὐκ ἄν ποτ' ηὔχουν οὔτε σ' οὔθ' ἡμᾶς λαθεῖν
Μενέλαον, ὦναξ, ὡς ἐλάνθανεν παρών.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ὦ γυναικείοις τέχναισιν αἱρεθεὶς ἐγὼ τάλας.
ἐκπεφεύγασιν γάμοι με. κεἰ μὲν ἦν ἁλώσιμος
ναῦς διώγμασιν, πονήσας εἷλον ἂν τάχα ξένους·
νῦν δὲ τὴν προδοῦσαν ἡμᾶς τισόμεσθα σύγγονον,
ἥτις ἐν δόμοις ὁρῶσα Μενέλεων, οὐκ εἶπέ μοι.
τοιγὰρ οὔποτ' ἄλλον ἄνδρα ψεύσεται μαντεύμασιν.

ΧΟΡΟΣ.

οὗτος ὤ, ποῖ σὸν πόδ' αἴρεις, δέσποτ', εἰς ποῖον φόνον;

ΘΕΟΚΛΥΜΕΝΟΣ.

οἷπερ ἡ δίκη κελεύει μ'. ἀλλ' ἀφίστασ' ἐκποδών.

---

in eum versus locum incidit, in quo longa vocalis aptior, quam brevis est: qua caussa Aeschylus in Choephoris v. 812. posuit

πρᾶξιν οὐρίαν θέλων.

1634. Par. G. Flor. 1. 2. Vict. ὁρμιατόνων, sed in Flor. 2. in margine γρ. ὁρμιὰν τίνων.

1640. Libri: ὦ γυναικείαις τέχναισιν. Scripsi γυναικείοις ea caussa, quae explicata est ad v. 1631.

1641. Ante Barnesium legebatur ἐκπεφεύγασι, et versu sequente διώγμασι.

1647. Libri: ἀλλ' ἀφίστασθ' ἐκποδών. Quod etsi defendi potest, tamen non dubito quin recte novissimi editores secuti sint Porsonum in praefatione Hecubae p. 43. corrigentem ἀφίστασ'.

ΧΟΡΟΣ.

οὐκ ἀφήσομαι πέπλων σῶν· μεγάλα γὰρ σπεύδεις κακά.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἀλλὰ δεσποτῶν κρατήσει δοῦλος ὤν;

ΧΟΡΟΣ.

φρονῶ γὰρ εὖ.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

οὐκ ἔμοιγ', εἰ μή μ' ἐάσεις

ΧΟΡΟΣ.

οὐ μὲν οὖν σ' ἐάσομεν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

σύγγονον κτανεῖν κακίστην.

ΧΟΡΟΣ.

εὐσεβεστάτην μὲν οὖν.

1649. Libri: ἀλλὰ δεσποτῶν κρατήσεις δοῦλος ὤν; Vix credibile est, tantam fuisse omnium editorum socordiam, ut non cogitaverint feminas esse, ex quibus constet chorus. Fugerat me hic locus, quum ad Vigerum in adnotatione 50. unicum exemplum, quo chorus singularis numeri genere masculino significari creditus esset, in Hippolyti v. 1105. inveniri dicerem: quod exemplum falso allatum esse ostendi. Non plus ponderis hoc Helenae habet. Scribendum est enim κρατήσει, ut sententia sit universalis. Pollucem IV. 111. vehementer errasse credo, quum de Euripide, qui comicorum parabasin quodammodo imitatus fuerit, scribit: ἐν μέν γε τῇ Δανάῃ τοῦ χοροῦ τὰς γυναῖκας ὑπὲρ αὐτοῦ τι ποιήσας παρειπεῖν, ἐκλαθόμενος ὡς ἄνδρας λέγειν ἐποίησε τῷ σχήματι τῆς λέξεως τὰς γυναῖκας. De Sophocle quod addit, non ad generis permutationem, sed ad imitationem parabasis spectat.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἥ με προὔδωκεν,

ΧΟΡΟΣ.

καλήν γε προδοσίαν δίκαια δρᾶν.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

τἀμὰ λέκτρ' ἄλλῳ διδοῦσα;

ΧΟΡΟΣ.

τοῖς γε κυριωτέροις.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

κύριος δὲ τῶν ἐμῶν τίς;

ΧΟΡΟΣ.

ὃς ἔλαβεν πατρὸς πάρα.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἀλλ' ἔδωκεν ἡ τύχη μοι.

ΧΟΡΟΣ.

τὸ δὲ χρεὼν ἀφείλετο.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

οὐ σὲ τἀμὰ χρὴ δικάζειν.

ΧΟΡΟΣ.

ἤν γε βελτίω λέγω.

1652. Ante Barnesium legebatur προὔδωκε. Deinde Flor. 1 καλὴν δὲ προδοσίαν.

1654. Hic quoque, quum in libris esset: ὃς ἔλαβε πατρὸς πάρα, Barnesius restituit ἔλαβεν. Dubitari tamen potest, an scripserit poeta: ὅς σφ' ἔλαβε πατρὸς πάρα.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ἀρχόμεσθ' ἄρ', οὐ κρατοῦμεν.

ΧΟΡΟΣ.

ὅσια δρᾶν, τὰ δ' ἔκδικ' οὔ.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

κατθανεῖν ἐρᾶν ἔοικας.

ΧΟΡΟΣ.

κτεῖνε· σύγγονον δὲ σὴν
οὐ κτενεῖς ἡμῶν ἑκόντων, ἀλλ' ἔμ', ὡς πρὸ δεσποτῶν
τοῖσι γενναίοισι δούλοις εὐκλεέστατον θανεῖν.

ΔΙΟΣΚΟΥΡΟΙ.

ἐπίσχες ὀργὰς, αἷσιν οὐκ ὀρθῶς φέρει,
Θεοκλύμεν', ὦ γῆς τῆσδ' ἄναξ· δισσοὶ δέ σε
Διόςκοροι καλοῦμεν, οὓς Λήδα ποτὲ
ἔτικτεν, Ἑλένην θ', ἣ πέφευγε σοὺς δόμους·
οὐ γὰρ πεπρωμένοισιν ὀργίζει γάμοις,
οὐδ' ἡ θεᾶς Νηρῇδος ἔκγονος κόρη

1657. Libri: ὅσια δρᾶν τάνδ' ἐκδικῶ. Correxit Porsonus ad Hec. 1262.

1659. Edd. vetustissimae: ἀλλ' ἐμὲ πρὸ δεσποτῶν. τοῖσι γενναίοισι δούλοις, εὐκλεέστατον θανεῖν. Ex Herv. 2. in insequutas venit haec distinctio: ἀλλ' ἐμέ. πρὸ δεσποτῶν τοῖσι γενναίοισι δούλοις εὐκλεέστατον θανεῖν. Flor. 1. πρὸς. Porsonus ad Hec. 1262. et ego, ut Erfurdtius in maiore ed. Aiacis p. 629. adnotavit, ὡς inseruimus.

1662. Libri: Θεοκλύμενε, γῆς τῆσδ' ἄναξ. Quum secundam in Theoclymeni nomine syllabam, ubi hoc nomen invenitur, brevem esse voluerit Euripides, ὦ inserui.

1663. Ante Barnesium legebatur Διόςκουροι.

1666. Libri: ἐκγόνη κόρη. Correxit Matthiae.

ἀδικεῖ σ', ἀδελφὴ Θεονόη, τὰ τῶν θεῶν
τιμῶσα πατρός τ' ἐνδίκους ἐπιστολάς.
εἰς μὲν γὰρ ἀεὶ τὸν παρόντα νῦν χρόνον
κείνην κατοικεῖν σοῖσιν ἐν δόμοις ἐχρῆν·
ἐπεὶ δὲ Τροίας ἐξανεστάθη βάθρα,
καὶ τοῖς θεοῖς παρέσχε τοὔνομ', οὐκέτι·
ἐν τοῖσι δ' αὐτοῖς δεῖ νιν ἐζεῦχθαι γάμοις,
ἐλθεῖν τ' ἐς οἴκους καὶ συνοικῆσαι πόσει.
ἀλλ' ἴσχε μὲν σῆς συγγόνου μέλαν ξίφος,

1669. Libri veteres: εἰ μὲν γὰρ ἀεί. Quod Stephanus ut ex Mss. suis reponebat, εἰς μὲν γὰρ αἰεί, a Cantero receptum, qui tamen ἀεὶ servavit, ut Porsonus ad Orest. 1679. Flor. 1. χρόνον νῦν.

1672. Edd. vetustissimae et Basileensis: καὶ τοῖς θεοῖς παρέσχετ' οὔνομα, οὐκέτι. Herv. 2. Cant. Commel. P. Steph. καὶ τοῖς θεοῖς παρέσχε τ' οὔνομα, οὐκέτι. Barnes. καὶ τοῖς θεοῖς παρέσχετ' οὔνομ'. Sententia haec est: *postquam Helena nomen praebuit diis*, ut simulacrum ab Iunone ex aethere factum Helena diceretur. Quae sequuntur, in edd. omnibus, etiam novissimis, excepta Bothiana, ita scripta sunt: οὐκέτι ἐν τοῖσιν αὐτοῖς δεῖ νιν ἐζεῦχθαι γάμοις, ἐλθεῖν δ' ἐς οἴκους καὶ συνοικῆσαι πόσει. Sensit aliquid turbatum esse Pflugkius, qui non protulisset malam coniecturam, si, quod officium erat editoris, Bothii editionem inspexisset. Is recte vidit interpungendum esse post οὐκέτι, et deinde scribendum ἐν τοῖσι δ' αὐτοῖς δεῖ νιν ἐζεῦχθαι γάμοις. Debebat vero etiam ἐλθεῖν τ' ἐς οἴκους scribere.

1675. Libri: ἀλλ' ἴσχε μὲν σῆς συγγόνου μέλαν ξίφος. Sed Flor. 1. σὺ pro σῆς, ad quod non attendendum esset, nisi aliqua inde concipi suspicio posset, scriptum fuisse: ἀλλ' ἴσχε μὲν σὺ συγγόνου τῆς σῆς ξίφος. Certe supervacaneum hic epitheton est μέλαν, pro quo mallet quis μεθεὶς legi: sed quoniam additum videtur atrocitatis significandae caussa, quam in se admissurus erat Theoclymenus, multo sane rectius positum est, quam in his versibus Orestis, 1147.

μὴ γὰρ οὖν ζῴην ἔτι,
εἰ μὴ 'π' ἐκείνῃ φάσγανον σπάσω μέλαν.

Aliud est enim, si praecedit epitheton, quo facto in unam cum nomine notionem coniungitur; aliud, si sequitur, praesertim interposito alio verbo: disiunctum enim etiam notione separatur, coniungique potius cum verbo principali postulat. Quod sentiens scho-

νόμιζε δ' αὐτὴν σωφρόνως πράσσειν τάδε.
πάλαι δ' ἀδελφὴν καὶ πρὶν ἐξεσώσαμεν,
ἐπείπερ ἡμᾶς Ζεὺς ἐποίησεν θεούς·
ἀλλ' ἥσσον' ἦμεν τοῦ πεπρωμένου θ' ἅμα
καὶ τῶν θεῶν, οἷς ταῦτ' ἔδοξεν ὧδ' ἔχειν.
σοὶ μὲν τάδ' αὐδῶ· συγγόνῳ δ' ἐμῇ λέγω
πλεῖν ξὺν πόσει σῷ. πνεῦμα δ' ἕξετ' οὔριον·
σωτῆρε δ' ἡμεῖς σὼ κασιγνήτω διπλῶ
πόντον παριππεύοντε πέμψομεν πάτραν.
ὅταν δὲ κάμψῃς καὶ τελευτήσῃς βίον,
θεὸς κεκλήσει, καὶ Διοσκόρων μέτα

---

liastes ad Oresten θανάτου πρόξενον interpretatur. Magis placeret, si legeretur: εἰ μὴ 'π' ἐκείνῃ φάσγανον σπάσαιμ' ἐγώ. Non est tamen contemnenda codicis Mosc. scriptura, εἰ μὴ 'π' ἐκείνης φάσγανον σπάσω μέλαν, quod est, *nisi ex eius corpore ensem extraham atratum sanguine.*

1676. Vulgatum πράττειν corrigendum monuit Matthiae, quod fecit L. Dindorfius.

1677. Soli Matthiae et Bothius κἂν πρὶν ex Heathii sententia pro vulgato καὶ πρὶν ediderunt, sed Matthiae, quum id in secunda editione grammaticae §. 508. adnot. 2. probasset, in tertiae eadem §. *c.* p. 1153. vulgatam defendit. Eam ego quoque servandam duxi, propterea maxime, quod non suo loco ponendum esset ἂν: nam dicendum potius erat πάλαι δ' ἂν ἀδελφὴν καὶ πρὶν ἐξεσώσαμεν. Potuit autem omitti, quia quod sequitur ἀλλ' ἥσσον' ἦμεν mutata constructionis forma dictum est pro εἰ μὴ ἥσσον' ἦμεν.

1679. Libri ἥσσονες. Piersono auctore in Veris. p. 66. seq. a Musgravio restitutum ἥσσον'.

1681. Eodem modo etiam in Iphigenia Taurica Minerva v. 1446. seqq. ex longinquo Oresten alloquitur, addens:

κλύεις γὰρ αὐδήν, καίπερ οὐ παρών, θεᾶς.

1682. Edd. vetustissimae: πνεῦμα δ' ἄξετ' οὔριον. Correctum in Herv. 2.

1683. Legebatur διπλῷ. Correxit accentum Schaeferus.

1685. Eadem praedicit Apollo in Oreste v. 1635. seqq.

σπονδῶν μεθέξεις, ξένιά τ' ἀνθρώπων πάρα
ἕξεις μεθ' ἡμῶν. Ζεὺς γὰρ ὧδε βούλεται.
οὗ δ' ὥρισέν σε πρῶτα Μαιάδος τόκος
Σπάρτης, ἀπάρας τῶν κατ' οὐρανὸν δόμων,
κλέψας δέμας σόν, μὴ Πάρις γήμειέ σε,
φρουρὸν παρ' Ἀκτῇ τεταμένην νῆσον λέγω,

1687. De his sacris, quae ξένια dicit, videndi interpretes ad Pindari Olymp. III.

1689. Edd. vett. οὐδ' ὥρισέν σε. Scribendum esse οὗ δ' a Cantero monitum erat. Vict. οὗ δ' ὥρισέν σοι. Ac σοι etiam Florentini 1. 2. Matthiae addit: *quod non dubitavi recipere: sic iam Canter*. Credat, qui haec legat, et ipsum et Canterum οὗ δ' ὥρισέν σοι probavisse, sed dicere voluit οὗ δ' ὥρισέν σε: patetque ex versione, quam adiecit: *ubi te Mercurius constituit*, comparans ὁρίζειν et ὁρίζεσθαι βωμοὺς in Sophoclis Trach. 237. 754.

1690. In Aldina atque antiquioribus Canteriana editionibus haec sic interpuncta sunt: οὐδ' ὥρισέν σε πρῶτα Μαιάδος τόκος, Σπάρτης ἀπάρας τῶν κατ' οὐρανὸν δόμων κλέψας δέμας σόν. Canterus nescio quo errore interpunxit: οὗ δ' ὥρισέν σε πρῶτα Μαιάδος τόκος, Σπάρτης ἀπάρας, τῶν κατ' οὐρανὸν δόμων κλέψας δέμας σόν. Servavit hoc Schaeferus, servavit Matthiae sine ulla adnotatione, servarunt sola post τόκος virgula omissa Dindorfii et Pflugkius, qui et ipse tacuit. Perversitatem sentientes Heathius et Reiskius coniecerunt τῶν κατ' Εὐρώταν δόμων, quod recepit Bothius, laudandi certe, quod ultra phrases sapuerunt, Helenamque viderunt nec simul Sparta et caelo, nec caelo ullo modo auferri, notandi autem, quod coniecerunt pro quo Euripides dixisset τῶν παρ' Εὐρώτᾳ δόμων, nec cogitarunt ἀπαίρειν etiam neutrali significatu dici, iustisque adhibitis interpunctionibus sana esse omnia: οὗ δ' ὥρισέν σε πρῶτα Μαιάδος τόκος Σπάρτης, ἀπάρας τῶν κατ' οὐρανὸν δόμων, κλέψας δέμας σόν. Dicitur et ὁρίζειν ἀπό τινος, ut in Hecuba v. 941. καί μ' ἀπὸ γᾶς ὥρισεν Ἰλιάδος, et ὁρίζειν τινός, ut apud Sophoclem in Philocteta v. 635.

ἀλλ', ὦ τέκνον, χωρῶμεν, ὡς ἡμᾶς πολὺ
πέλαγος ὁρίζῃ τῆς Ὀδυσσέως νεώς.

1692. Edd. vett. φρουροῦ παρ' ἀκτὴν τεταγμένη. νῆσον λέγω. Flor. 1. 2. φρουροῦ παρ' ἀκτὴν τεταγμένους. Deinde Flor. 2. μνῆσον et in margine γρ. νῆσον. Stephanus ut ex Mss. suis: φρουρὰ παρ' ἀκτὴν τεταμένη, quod receptum a Cantero servatumque fideliter a caeteris. Sed librorum veterum scripturae, etsi

Ἑλένη τὸ λοιπὸν ἐν βροτοῖς κεκλήσεται,
ἐπεὶ κλοπὰς σὰς ἐκ δόμων ἐδέξατο.
καὶ τῷ πλανήτῃ Μενέλεῳ θεῶν πάρα
μακάρων κατοικεῖν νῆσόν ἐστι μόρσιμον·
τοὺς εὐγενεῖς γὰρ οὐ στυγοῦσι δαίμονες,
τῶν δ' ἀναριθμήτων μᾶλλόν εἰσιν οἱ πόνοι.

ΘΕΟΚΛΥΜΕΝΟΣ.

ὦ παῖδε Λήδας καὶ Διός, τὰ μὲν πάρος
νείκη μεθήσω σφῶν κασιγνήτης πέρι.
ἐγὼ δ' ἀδελφὴν οὐκέτ' ἂν κτάνοιμ' ἐμήν.
κείνη δ' ἴτω πρὸς οἶκον, εἰ θεοῖς δοκεῖ.
ἴστον δ' ἀρίστης σωφρονεστάτης θ' ἅμα
γεγῶτ' ἀδελφῆς ὁμογενοῦς ἀφ' αἵματος.
καὶ χαίρεθ', Ἑλένης οὕνεκ' εὐγενεστάτης
γνώμης, ὃ πολλαῖς ἐν γυναιξὶν οὐκ ἔνι.

---

non inscite a Stephano mutatae, monstrare poterant reponendum esse: φρουρὸν παρ' Ἀκτῇ τεταμένην νῆσον λέγω.

